1 στοιχεῖον χ΄ περὶ AGHF 2 χαμαιλέοντος GH 3 χρόαν AGHF / ἀναλλάσσει A 5 ἀναιρεθέντος I 6 ὀπισθό<το>νον G 9 ὕαι<ν>α GHF / σὺν δὲ om.I / οὐρὰ ἢ ῥίζα I 10 χόρτου I / ἢ κρατουμένη om.GHF / αὐτοῦ καὶ om.I / σὺν ῥίζῃ βουγλώσσου I.

Scholia marginalia.

2 σκόπει ἀκριβῶς τοῦ χαμαιλέοντος ἕως τέλος A 6 ὀπισθότονον A 10 εἰς ἐχθρῶν γλῶσσα δεσμωτήριον A.

## 45. Περὶ χοίρου ἡμέρου.

Χοῖρος, ὁ καὶ ὗς καὶ σῦς καὶ μονιὸς καλούμενος πᾶσι γνωστός ἐστι.

Τούτου ὁ πνεύμων τὰ ἐξ ὑποδημάτων παρατρίμματα θεραπεύει. τὸ δὲ οὖρον τῶν εὐνούχων ὑῶν ῥυπτικὸν λίαν ὑπάρχει. ὃ καί τινες ἐν λοιμῷ πιόντες ἐσώθησαν. λέπρας τε καὶ τὰ σηπεδονώδη τῶν ἑλκῶν καὶ ἰχῶρας καὶ πίτυρα θεραπεύει, καὶ τὰ προσπταίσματα τῶν ποδῶν ποιεῖ ὥστε μὴ φλεγμαίνειν.

Ἡ δὲ χολὴ καὶ τὸ στέαρ σὺν ἀμυγδαλίνῳ ἐλαίῳ ἐνσταζόμενα ὠταλγίαν παύουσιν. ὁ δὲ ἐγκέφαλος αὐτοῦ σὺν μέλιτι ὀπτός, λεῖος ἐπιπλασθείς, ἄνθρακας μαραίνει. σὺν δὲ ἀμύλῳ καταπλασσόμενος ποδάγρας παρηγορεῖ. τὸ δὲ στέαρ τοῦ κάπρου σὺν ῥοδίνῳ ἐλαίῳ λειωθὲν ἐπινυκτίδας καὶ ἰχῶρας θεραπεύει. τὸ δὲ ἧπαρ τοῦ κάπρου, ξηρόν, λεῖον σὺν οἴνῳ πινόμενον, ἑρπετῶν δήγματα ἰᾶται.

D N W K S L

1 περὶ – ἡμέρου om.DNK / χοίρου Χ´ WS / ἡμέρου om.WS 2 καὶ σὺς – μονιὸς om.DNWSL 3 ἐστὶ om.DNWSL 4 ἐπιτιθέμενος in.mg.K / θεραπεύει παρατρίμματα WKS / θεραπεύει πεπίστευται L 5 λίαν om.DNL / ὑπάρχει : ἐστὶ K 6 πιόν<τες> WS / ἰάθησαν WKS / τὰ om.K 8 ποιεῖ om.WKS / φλεγμᾶναι WKS : φλεγμῆναι L 9 ἐλαίῳ om.KL / σταζόμενα S : ἐνσταζόμενον DNL 10 παύει DNL / αὐτοῦ ὀπτὸς λεῖος K / ἑφθὸς DNL / εὖ ἀληθὲς ἐπεὶ τοῦτο ἡμεῖς ἐπειράσαμεν in mg.N 11 ἀμάλη WS : μαλάχη K / σὺν – 12 κάπρου om.WKS 13 ἀχῶρας L 14 πινόμενον om.WSL / πρὸς ἑρπετῶν WSL / ἑρπετοδήκτοις K / πίνηται δήγματα L / ἰᾶται : πίνεται WS : βοηθεῖ L : om.L.

4 Diosk. II 38. 9 Diosk. II 78,4,17.

Ψύλλος ὁ ἐν αἰγιαλοῖς εὑρισκόμενος ἑψηθεὶς σὺν ῥοδίνῳ ἢ λευκίνῳ ἐλαίῳ ὠταλγίας βοηθεῖ. (79) ψύλλους δὲ θαλασσίους πολλοὺς ἑψήσας ἐν ὕδατι θαλασσίῳ μετὰ ψυλλίου βοτάνης ῥαῖνε ὅπου εἰσὶν ψύλλοι πολλοί, καὶ οὐκέτι ὑπάρξουσιν. ἐὰν δὲ ἁλιεὺς χρᾶται ὡς δελεάσματι τῷ ψύλλῳ, ἐπιτεύξει τῆς ἁλείας. δίδου δὲ δεσμεῖν δορᾷ δελφίνων.

A G H F I

2 ὁ om.AGHF 3 ἐλαίῳ om.I / ἰᾶται I / εψηλα G 4 ῥᾶνε I 5 ἁλιὲς F / χρῆται I ὡς om.GHFI / δελεάματι I 6 ἐπιτεύξεται I : ἐπιδείξει GHF / τῆς om.I / δίδου: ἰδοῦ GHF / δὲ om.AGHF / δεσμὸν A / δελφίνος I : δελφίνῳ A.

## 46. Περὶ ψαμμοδύτου.

Ψαμμοδύτης ἐστὶν ὁ ἀσφάλαξ, ὡς καὶ ἐν τῷ πρώτῳ στοιχείῳ εἴρηται, ὅτι ὅσα μέλη ἔχει, καὶ δυνάμεις τοσαύτας ἔχει εἰς ὠφέλειαν, ὥστε καὶ ἐπιληψίας καὶ ἀλφοὺς καὶ πόδας καὶ ἐλεφαντιάσεις καὶ ὀφιάσεις θεραπεύει καὶ ὅτι πολύχρηστον καὶ χρηματικόν ἐστιν τὸ ζῷον καὶ πάνυ προσφιλές.

A G H F I

1 στοιχεῖον ψ´ περὶ AGHF / περὶ ψαμμοδύτου om.I 2 ἐστὶν om.AGHF / ὡς om.AGHF ὁ ἀσφάλαξ – εἴρηται om.F 3 ὁπόσα A / τόσας AGHF / ἔχει om.I 4 καὶ πόδας om. I / ἐλεφαντιώσεις I 5 ἐστὶν – ζῷον om.I 6 πάνυ om.I / προσφιλῆ GHF / προσφιλές ἐστι τοῦτο τὸ ζῷον I.

## 47. Περὶ ᾠῶν.

Ὠὰ ἀράχνης εὑρισκόμενα ἀρχομένου τοῦ ἔαρος ἐν ταῖς ὁδοῖς, καὶ αὐτοῦ τοῦ φαλαγγίου τὰ ᾠά, ἐὰν λάβῃς εἰς ὄνομα τοῦ πάσχοντος καὶ ἐνδήσῃς ῥάκει μελανῷ, καὶ περιάψῃς εὐωνύμῳ βραχίονι, τριταῖον, τεταρταῖον καὶ ἀφημερινὸν ἰᾶται. δεῖ δὲ λαμβάνειν ληγούσης σελήνης καὶ οὔσης αὐτῆς ἐν ἰχθύσιν, ἐν ἡμέρᾳ σαββάτου περὶ ὥραν θ'. ἐπὶ μὲν ἀφημερινοῦ α', ἐπὶ δὲ ἡμιτριταίου β', ἐπὶ δὲ τριταίου γ', ἐπὶ δὲ τεταρταίου δ', ταῦτα δὲ περιαπτέον τραχήλῳ ἢ ἀγκῶνι. εἰσὶ δὲ καὶ ᾠὰ ὠκυτόκια ὑποθυμιώμενα καὶ περιαπτόμενα.

Τέλος δευτέρας Κυρανίδος. (80)

A G H F I

1 στοιχεῖον ω' περὶ AGHF 2 ἦρος AGHF 3 τοῦ : ὧν GHF / ἐὰν οὖν AGHF / expectus μέλανι 4 τριταῖον καὶ I 5 τε καὶ F / ἀμφημερινὸν AG 6 καὶ – θ' om.I 7 μὲν om.I ἀμφημερινοῦ A / ἐπὶ : ἔτι F / δὲ om.F / ταῦτα δὲ om.AGHF / καὶ περιαπτέον AGHF / περιάπτειν GHFI 9 ᾠὰ om.GHFI 10 τέλος – Κυρανίδος om.I.

Scholia marginalia.

2 ὠκυτόκιον A.

## 47a. Περὶ ᾠῶν τῶν ὀρνίθων.

Ὠῶν ὀρνίθων τὰ ὄστρακα κεκαυμένα λεῖα σὺν ὀξυμέλιτι πινόμενα κύστιν αἱμορραγοῦσαν ἵστησιν. ὁλόκληρον δὲ τὸ ᾠὸν κεκαυμένον ἕως οὗ τεφρωθῇ καὶ σὺν ἀρσενικῇ μαστίχῃ λειούμενον καὶ ἐμφυσώμενον τοῖς μυκτῆρσι ῥινῶν αἱμορραγίαν ἀναστέλλει.

Τὸ δὲ λευκὸν τοῦ ᾠοῦ σὺν ψιμυθίῳ καὶ ἀμύλῳ καταχριόμενον φλεγμονὴν παρηγορεῖ. νεαροῦ δὲ ᾠοῦ τὸ λευκὸν μετὰ πτεροῦ καταχριόμενον κατακαύματα ἰᾶται. σὺν δὲ ψιμυθίῳ καταχριόμενον οὐλὰς μελαίνας λευκαίνει. ὠμὸν δὲ τὸ ᾠὸν νῆστις ἐπιρροφώμενον τοῖς ὁδοιποροῦσιν ἀδίψους διατηρεῖ.

Ὠὰ δὲ τηγανισμένα σὺν νίτρῳ λειοτάτῳ καὶ κηρῷ ἐσθιόμενα νῆστις κοιλίαν ῥέουσαν ἵστησιν. τὸ δὲ ἐκ τῶν ᾠῶν ἐκθλιβόμενον ἔλαιον ὠφέλιμόν ἐστιν ἐπὶ παντοίαις φλεγμοναῖς. ἀποκρουστικὸν γὰρ ἐστι τούτων, ὡς οὐκ ἄλλο τι. τοῖς δὲ καθ' ἕδραν βιασμὸν πάσχουσιν ᾠῶν οἱ κρόκοι χωρὶς τῶν λευκῶν λειωθέντες σὺν πίσσῃ ξηρᾷ καὶ ἑψηθέντες πυρὶ καὶ ἐπιρροφώμενοι πολλὴν ὠφέλειαν προξενοῦσι.

Τῆς δὲ πέρδικός φασι τὰ ᾠὰ ἐσθιόμενα εἰς ἀφροδίσια παρορμῶσι. τὰ δὲ ἀράχνια ᾠὰ ὑποθυμιώμενα ἢ περιαπτόμενα ὠκυτόκια γίνεται.

Τέλος τῶν χερσαίων ζῴων.

D N W K S L

1 περὶ – ὀρνίθων om.DNK / τῶν ὀρνίθων om.L 2 ποιεῖ πρὸς αἱμορραγοῦσαν κύστιν, καὶ ῥινῶν αἱμορραγίαν καὶ εἰς φλεγμονὴν παντοίαν, καὶ καταπλάσματα, καὶ οὖλα μελανὰ εἰς τὸ διαφυλαχθῆναι ἄδιψον καὶ ῥύσιν κοιλίας καὶ βιασμοὺς ταῦτα προεγράφησαν. εἰ βούλῃ δὲ κἀνταῦθα εὑρεῖν ζήτησον περὶ τούτων. ᾠῶν L / τὰ om.L / ὄστρακα : λέπη K / κεκαμένα K 3 ἰῶνται WKSL / ὅλον K / κεκαμένον K / κεκαυμένον τὸ ᾠὸν WS 4 ἀρσενικῷ DK : ἀρσενικίῳ N / μαστίχῃ : σχιστῇ L : σχιστῷ K / λείῳ K / καὶ om.K / ἐμφυσσούμενον K 4–19 λειούμενον – ζῴων om.L 5 στέλλει WKS 6 λευκὸν : λίπος WS : λέπος K / ἀλεύρῳ [αμυλω] D : ἀμύ<λ>ῳ WS 7 φλεγμονὰς DN / λευκὸν : λεπτὸν WKS / φλεγμονὴν παρηγορεῖ καὶ κατακαύματα WKS 8 ψιμυνθίῳ WS / καταχριόμενον om.WKS 9 τοὺς ὁδοιποροῦντας WKS 10 διαφυλάττει WS 11 λειοτάτῳ om. WKS / καὶ ἐσθιόμενα WS 12 συνθλιβόμενον K : συναλειβόμενον WS 13 ἐπὶ : ἐν K πάσαις WKS / καὶ ἀποκρουστικὸν WKS / γὰρ om.DWKS 14 ἐστὶ τὸ τοιοῦτον D / ἐστὶ τούτων om.WKS / τὶ om.WS / τοῖς om.WKS / ἐπὶ δὲ WKS / καθ' ἕδραν om.WKS / βιασμὸν : πινεσμὸν WS : τινὲς K / πάσχουσιν om.WKS 15 τῶν ᾠῶν K / οἱ κρόκοι : τὰ πυρρὰ (ἤτοι τοῦ λεκύθου λαβὼν K) WKS / καὶ χωρὶς WS / λευκῶν λαβὼν WS / λείωσον καὶ μίγνυε WKS / εἰς πίσσαν ξηρὰν WS / ἑψήσας WKS 16 καὶ om.WKS / δίδου ἐπιρροφᾶν WKS / πολλὴν om.WKS / καὶ πάνυ ὠφελεῖται (ὁ πάσχων K) WKS / προξενοῦσι om.WKS 17 τῆς : τοῦ DN / εἰς om.WKS / παρορμᾷ WS : στηκάεισι K 18 τὰ : τῆς WKS / ἀράχνης τὰ ᾠὰ ὠκυτόκιά εἰσιν WKS / ὠκυτόκια γίνεται om.WKS 19 τέλος – ζῴων om.DNK.

6 Diosk. II 50.20. 8 Diosk. II 50.21.

1. Περὶ ἀετοῦ.

Ἀετός ἐστι βασιλεὺς πάντων τῶν ὀρνέων, τῇ χροιᾷ μελανίζων. τούτου ὑπὸ τὸν αἰθέρα ἱπταμένου πᾶν πτηνὸν φρυάσσει. ἔχει δὲ μεγάλας πράξεις, ἃς λέγων οὐ σιωπήσω.

Ἀγρεύσας οὖν ἀετόν, ἐρωτικὸν καὶ φιλητὸν <ποιεῖ> τὸν φοροῦντα τὴν καρδίαν αὐτοῦ καὶ τὸ δέρμα τῆς κεφαλῆς καὶ τοὺς ὀφθαλμοὺς καὶ τὰ ἄκρα τῶν μεγάλων πτερύγων καὶ ταῦτα φορῶν εἰς φυλακτήριον, εἰρηνικὸν καὶ φιλητὸν καὶ ἐρωτικὸν ποιεῖ τὸν φοροῦντα. κἂν ἐν μέσῳ πολεμίων ἐμπέσῃ, οὐ μὴ ἀδικηθῇ, οὐδὲ ἀπὸ χειμῶνος ἢ κεραυνοῦ βλαβήσεται, ἀλλ' ἔσται ἐν πᾶσι χαριέντης καὶ ἡσύχιος. δεῖ δὲ αὐτὴν ἐν τῷ ἰδίῳ δέρματι φορεῖν συρραφεῖσαν ἐν χρυσῷ σωληναρίῳ. {αὐτὴν ἐμβαλεῖν}.

Ἂν δέ τις ἁλιεὺς ἢ κυνηγὸς βαστάζῃ τὴν κοιλίαν ἢ τὴν κεφαλὴν ἢ τὰ ἄκρα τῶν πτερῶν, οὐδέποτε ἀστοχήσει τῆς ἄγρας ἢ τοῦ κυνηγίου. ἐσθιόμενον δὲ τὸ στρουθίον ὀπτὸν σὺν τοῖς πτεροῖς, δαιμονιῶντας ἰᾶται. ἐν οἴκῳ δὲ κείμενον μάχας στρέφει. (82)

Ἀγρεύσας τὸν ἀετὸν καὶ ἐάσας νυχθήμερον ζῶντα, τὴν κόπρον ἣν ῥίπτει εἰς τὸ νυχθήμερον λαβὼν φύλαττε. εἶτα τὴν ἑξῆς, πεδήσας τὸν ἀετὸν καὶ τὸ στόμα αὐτοῦ καθείρξας, λέγε εἰς τὸ οὖς αὐτοῦ·

A G H F I D N W K S

1 Κυρανὶς τρίτη θεὸς ὁ βοηθῶν AGHF / περὶ τῆς τῶν πετεινῶν δυνάμεως I / Κυρανίδος – ὀρνέων : περὶ πτηνῶν (ὁποίαν ἕκαστον ἐνέργειαν κέκτηται D) DN : βίβλος ἰατρικὴ κατὰ στοιχεῖον, περί τινων πετεινῶν καὶ νηκτῶν καὶ χερσαίων ζῴων δυνάμεως, ἐκ τῆς τοῦ Συμεὼν μαγίστρου ἀντιοχέως πραγματείας. K : βίβλος ἰατρικὴ σύντομος τοῦ τρισμεγίστου Ἑρμοῦ κατὰ μαθηματικῆς ἐπιστήμης καὶ φυσικῆς ἀπορροίας τῶν ζῴων (τῶν πτηνῶν W) ἐκδοθεῖσα πρὸς τὸν μαθητὴν αὐτοῦ Ἀσκληπιόν. WS.

A G H F I

2 στοιχεῖον α΄ AGHF / περὶ ἀετοῦ om.AGHF 3 ἐστὶ om.AGHF / χροιῇ GHF 4 φρύσσει GHF 5 ἃς – σιωπήσω : καὶ ἄλλα τάχα ῥήγματα A : καὶ πολλὰ τὰ χειρότμητα (χρωτήματα F) GHF 6–17 ἀγρεύσας – στρέφει om.I 9 φιλικὸν GHF / ἐὰν GHF 11 χαριέντης vox nova 14 ἐὰν H 16 τὸ : τὸν A 18–98 ἀγρεύσας – εὐτόκιον om.AGHF

αν. ὁρκίζω σε εἰς τὸν θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ εἰς τὰ τέσσαρα στοιχεῖα, ἵνα ἐνεργήσῃς μοι ἐφ' ἑκάστας θεραπείας, ἐν ᾗ προσφέρω σε". καὶ λαβὼν ξίφος ὁλοσίδηρον καὶ θυμιῶν στύρακα καὶ μέλι, ὑποθεὶς κρατῆρι, ἀπότεμε τὴν κεφαλὴν αὐτοῦ ἐπάνω τοῦ κρατῆρος, ἵνα πᾶν τὸ αἷμα ἐν τῷ κρατῆρι ἐγχυθῇ. εἶτα εὐθὺς ἀναπτύξας καὶ ἀφελὼν ἔτι σπαίρουσαν τὴν καρδίαν σὺν πᾶσι τοῖς σπλάγχνοις ἀπόθου ἐν ἑτέρῳ ἀγγείῳ ἔχοντι οἶνον εὐώδη πρὸς τὸ πῶμα. τὴν δὲ κεφαλὴν πάσσον ἅλατι πολλῷ, ἀφελὼν τοὺς ὀφθαλμοὺς καὶ τὸν ἐγκέφαλον {παρὰ μίαν}, τὰ δὲ ἄλλα σπλάγχνα ἀφελὼν ἀπὸ τοῦ οἴνου, σμύρνισον σὺν ἅλατι καὶ ψύγε ἐν ἡλίῳ. τὸ δὲ αἷμα ψύγε ἐμβαλὼν εἰς κάρην.

Μαθήσας δὲ τὸν ἀετὸν τὰ μεγάλα πτερὰ τῶν ποδῶν φύλαττε. λαβὼν δὲ τὰ νεῦρα ἀπὸ τῶν μηρῶν, σημείωσαι ποῖα δεξιὰ καὶ ποῖα εὐώνυμά εἰσιν, ὁμοίως δὲ καὶ τῶν πτερύγων ἀπὸ τῶν ὤμων. τὰ δὲ κρέα πάντα εὐωδῶς ὑπ' ἀρωμάτων πολλῶν σμύρνισον, ὥσπερ καὶ τὰ ἐντὸς καὶ ξήρανον. πάντα δὲ ἔστω σοι κατ' ἰδίαν πεφυλαγμένα ἐγγράφως.

Πρὸς μὲν γὰρ κεφ<αλ>αλγίαν, μέγιστον θαῦμα τοῦ ἀετοῦ τῆς κεφαλῆς ὀστέον τῆς κορυφῆς ἐστι, περιαφθὲν τῷ πάσχοντι ἐν δέρματι ἐλάφου. οἱ δὲ κρόταφοι ἡμίκρανον θεραπεύουσιν, ὁ μὲν δεξιὸς εἰς δεξιὸν κρόταφον περιαφθείς, ὁ δὲ λαιὸς λαιῷ. ὁ δὲ ἐγκέφαλος αὐτοῦ μετ' ἐλαίου καὶ ὀλίγης κεδρίας ἀλειφόμενος, σκοτωματικοὺς καὶ πᾶσαν κεφ<αλ>αλγίαν θεραπεύει.

Ὁ δεξιὸς δὲ ὀφθαλμὸς αὐτοῦ εἰς ὀθόνην καθαρὰν δεθεὶς καὶ κρατούμενος ἐν τῇ εὐωνύμῳ χειρί, ἐν ταῖς εὐτυχίαις χάριν μείζονα καὶ ἐπιτυχίαν παρέχει· ὁ δὲ εὐώνυμος αὐτοῦ ὀφθαλμὸς περιαφθεὶς ἐν δέρματι ἐλάφου οὐκ ἐᾷ ποτε ὀφθαλμιάσαι τὸν φοροῦντα.

Ἐπάνωθεν δὲ τῶν ὀφθαλμῶν τοῦ ἀετοῦ εἰς τὰς ὀφρύας εὑρίσκονται δύο λίθοι, ἀνὰ εἷς ἑκάστῳ ὀφρύι εὑρισκόμενος. οἵτινες ἐνδεθέντες εἰς δέρμα λύκου ἢ φώκης ἢ ὑαίνης ἢ ἀετοῦ καὶ τραχήλῳ φορούμενοι, φυλάττουσι τὸν φοροῦντα ἀπὸ παντὸς πονηροῦ πράγματος καὶ ἐπιβουλῆς δαιμόνων, καὶ θηρίων καὶ ἀνθρώπων. πᾶν δὲ ἀγαθὸν ἐπιφέρουσιν. (83)

Ἡ δὲ γλῶσσα αὐτοῦ περιαπτομένη ῥάκει ληνῷ, ἀρτηρικοὺς καὶ βηχικοὺς καὶ κιόνιδας καὶ δύσπνοιαν μεγάλως ἰᾶται. τὸ δὲ ἧπαρ αὐτοῦ ξηρὸν λειωθὲν σὺν τῷ ἰδίῳ αἵματι καὶ ὀξυμέλιτι ἐπὶ ἡμέρας δέκα, ἐπιληπτικοὺς ἰᾶται. καὶ ἡ χολὴ αὐτοῦ μετὰ χυλοῦ ἐγχριομένη πρασίου

35 εὐωδῶς scripsi : εὐῶδες I 37 κεφαλγίαν I 42 κεφαλγίαν I 48 ἑκάστῳ ὀφρύι scripsi : ἕκαστος ὀφρὺν I 49 τραχήλῳ scripsi : τραχήλου I.

βοτάνης, σμύρνης τε καὶ μέλιτος ἀκάπνου, πᾶσαν ἀμαύρωσιν καὶ ἀμβλυωπίαν καὶ ὑπόχυσιν θεραπεύει, καὶ οὐκ ἐᾷ κακὸν ἐν ὀφθαλμοῖς γενέσθαι. ἡ δὲ καρδία αὐτοῦ ὡς εἴρηται, δοθεῖσα ἐν οἰνομέλιτι καὶ ἀρώμασι σμυρνι<σ>θεῖσα ἐπὶ ἡμέρας ζ', ἔπειτα εἰς δέρμα λύκου συρραφεῖσα καὶ φορουμένη, οὐδενὶ κακῷ περιπεσεῖν τὸν φοροῦντα ἢ ἀσθενείᾳ ἢ θηρίῳ, ἀλλ' ἐντυχὼν εὐδαιμονήσει, καὶ ἐπιτευκτικὸς ἔσται.

Οἱ δὲ νεφροὶ καὶ δίδυμοι ξηροί, βραχέντες καὶ ἐπιπασθέντες κονδίτῳ, καὶ ἐν ποτῷ διδόμενοι, εἰς πόθον ἐρωτικὸν καὶ φιλίαν ἄγουσι μεγίστην τὸν πιόντα εἴτε ἄνδρα εἴτε γυναῖκα. τῆς δὲ δεξιᾶς πτέρυγος τὸ πτερὸν ἐπιτευκτικόν, εὐπρόσιτον ποιεῖ τὸν κρατοῦντα. τῆς δὲ εὐωνύμου χειρὸς πτερὸν ἐὰν λάβῃ καὶ βάψῃ εἰς ἔλαιον καὶ ἀλείψῃ ἀπὸ τοῦ τένοντος μέχρι τοῦ ἱεροῦ ὀστοῦ δυστοκούσῃ γυναικί, παραυτα τέξεται. ἡ δὲ κόπρος αὐτοῦ ὑποθυμιωμένη ξηρά, ταῖς δυστοκούσαις ὠφελεῖ, καὶ φθόρια κατάγει. καὶ τὰ κατάλοιπα ἐν τῇ ὑστέρᾳ ἐξάγει ὑποκαπνιζομένη.

Τὰ δὲ νεῦρα τοῦ τραχήλου αὐτοῦ καὶ τῆς ῥάχης περιαπτόμενα περὶ τὸν αὐχένα καὶ τὸν σπόνδυλον, πᾶσαν ἀρθριτικὴν διάθεσιν καὶ ὀπισθοτονίαν ἰᾶται. τὰ δὲ νεῦρα τῶν πτερύγων αὐτοῦ ἀπὸ ἔσωθεν ληφθέντα καὶ περιαφθέντα δεξιὸς δεξιῷ καὶ λαιὸς λαιῷ, χειράγρους ὠφελοῦσιν. ὁμοίως τῶν ποδῶν ποδαλγοὺς καὶ γονάτων ἀλγήματα. οἱ δὲ ὄνυχες αὐτοῦ παιδίοις καὶ τελείοις ἀπὸ παντὸς φαύλου καὶ φαντάσματος πονηροῦ καὶ πάσης βλάβης ῥύονται τὸν φοροῦντα.

Τὸ δὲ δέρμα αὐτοῦ ἐπιβληθὲν καὶ σὺν τοῖς τρυφεροῖς πτερυγίοις φορούμενον καὶ συνφασκιώμενον ἐν τῇ κοιλίᾳ καὶ τῷ στομάχῳ, κωλικοὺς μεγάλως ὠφελεῖ, καὶ στομαχικοὺς καὶ τοὺς τὸν κωλοστόμαχον ἀλγοῦντας, καὶ πέψιν ποιεῖ. χρηματίζει δὲ ἐν ὕπνοις τὰ μέλλοντα συμβαίνειν. ἐὰν δέ τις μέλλων καθεύδειν ἀετοῦ στόμα (84) πρὸς κεφαλὴν θήσῃ, φανήσεται αὐτῷ ὃ βούλεται. τοσαῦτα μὲν περὶ ἀετοῦ.

Εἰ δ' ἀπορῇς αὐτοῦ ἀετοῦ, γῦπα λαβὼν τῷ ὁμοίῳ τρόπῳ χρῶ, ἔλασσον μέντοι ἔχει. ἔχει δὲ ὁ γὺψ ἰδίας ἐνεργείας. εἰ δὲ καὶ γυπὸς ἀπορήσῃς, ὁ ἱέραξ ἀναπληροῖ τὴν χρείαν, καὶ ἔλαττον ἐνεργεῖ. ἕκαστον δὲ ἔχει ἰδίας δυνάμεις, ὁ δὲ ἀετὸς μείζων πάντων, διὸ καὶ μείζων πάντων ἰσχύει, καὶ αὕτη αὐτοῦ εἰδικῶς ἐστιν ἡ δύναμις. ἀετοῦ δὲ πτερὸν ἐάν τις ὑπὸ τοὺς πόδας θήσῃ δυστοκούσῃ γυναικί, παραυτα τέξεται. ἅμα δὲ τῷ τεκεῖν ἆρον τὸ πτερόν.

'Αετίτης δὲ λίθος ὁ κρουόμενος καὶ εὐειδής, πυρρὸς τῇ χρόᾳ, φορούμενος φυλάττει τὰ ἐν τῇ κοιλίᾳ βρέφη καὶ οὐκ ἐᾷ ἐκτιτρώσκεσθαι αὐτά. ἐστὶ δὲ καὶ εὐτόκιον.

60 possis οὐδενὶ <ἐάσει> κακῷ περιπεσεῖν 80 κωλοστόμαχος vox nova 91 εὐειδής πυρρὸς scripsi : εὐαρὴς κιρρὸς I. 55 Diosk. II 78,2,19. 91 Kyr. I 1,7.

1α. Περὶ ἀετοῦ.

'Αετὸς μέγιστόν ἐστιν ὄρνεον, βασιλεὺς ἁπάντων τῶν πτηνῶν, ἔχων ἐνέργειαν τοιάνδε.

Τούτου ἡ χολὴ σὺν χυλῷ πρασίου καὶ ὀπῷ βαλσάμου καὶ μέλιτος λειωθεῖσα καὶ ἐπιχρισθεῖσα, πᾶσαν ἀμαύρωσιν καὶ ἀχλὺν καὶ ὑπόχυσιν ὀφθαλμῶν ἰᾶται. τὰ δὲ πτερὰ αὐτοῦ θυμιώμενα, ληθαργικοὺς καὶ ὑστερικὴν πνιγάδα καὶ φρενιτικὴν ἰῶνται. οἱ δὲ ὄνυχες αὐτοῦ καέντες καὶ λειωθέντες σὺν οἴνῳ παλαιῷ καὶ ἐπιχριόμενοι, σταφυλῆς πόνον θεραπεύουσι. πινόμενοι δὲ τοὺς δεδεμένους ἐν φαρμακείαις λύουσιν.

'Εὰν δὲ γυνὴ τὸν μυελὸν τοῦ ζῴου πίῃ, ἐπιθήσῃ δὲ καὶ ὀλίγον ἐξ αὐτοῦ τῷ τῆς μήτρας στομίῳ, ἀσύλληπτος γίνεται. τὰ δὲ ὀστᾶ αὐτοῦ καέντα καὶ λειωθέντα ἔχε ὡς ξηρίον καὶ ἐπίπασσε. ἰᾶται γὰρ ὤτων ἕλκη ἐπιπασσόμενον, καὶ εἰς ὀδονταλγίας ὠφέλιμον γίνεται σὺν οἴνῳ κλυζόμενον.

'Η δὲ καρδία αὐτοῦ ἑψηθεῖσα καὶ τριφθεῖσα καὶ δοθεῖσα ἐν βρώματι λάθρα ἢ ξηρὰ ἐν ποτῷ γυναιξί, μεγάλην φιλίαν καὶ πόθον ἐρωτικὸν πρὸς τοὺς ἑαυτῶν ἄνδρας ἐμποιεῖ. οἱ δὲ πόδες αὐτοῦ βασταζόμενοι πρὸς τὴν κατ' ἐχθρῶν νίκην μεγάλως συνεργοῦσιν.

D N W K S

1 περὶ ἀετοῦ om.DNK / ἀετοῦ ἤτοι τῶν πτηνῶν S 2 ἀετός ἐστι μέ<γα> WS / ἐστὶ μέγα K / ὄρνεον : ζῷον K 2-18 ὄρνεον - συνεργοῦσιν lit. vac. WS 4 μέλιτι καὶ σὺν DN / καὶ om. DN 6 λήθαργον K 7 πνίγα K / φρενίτην K / ἰᾶται DN 8 καὶ σὺν DN / καὶ om. DN 9 φαρμακείας K 10 μυελὸν ἤτοι τὸν ἐγκέφαλον K / ἐπιθήσῃ δὲ om.DN / ἐξ αὐτοῦ : τούτου DN / ἐπιθῇ τῷ DN 11 εἰς τὸ τῆς K / στόμα K 12 καύσας K / λειώσας K / καὶ ἐπίπασσε om.DN / ἰῶνται K / ὠτίων DN 13 ἐπιπασσόμενα K / καὶ - γίνεται om.K / δὲ ἐν στόματι κλυζόμενα ὀδονταλγίας ἰῶνται K 15 τοῦ ἀετοῦ δὲ DN / αὐτοῦ om.DN / καὶ τριφθεῖσα om.DN / δοθεῖσα : βληθεῖσα K 16 ἢ πόματι καὶ λάθρα δοθῇ K / ἢ - ποτῷ om.K / γυναικί τινι K 17 πρὸς : εἰς K / τοὺς om.K / ἑαυτῶν : αὐτοὺς K / ἄνδρας om.K / ποιεῖ K 18 τὴν κατ' om.K / ἐχθροὺς νικητήριοι καὶ φιμοκάτοχοί εἰσιν K / μεγάλως συνεργοῦσιν om.K.

4 Diosk. II 78,2.19.

Ἀλκυὼν στρουθίον ἐστὶν εὔμορφον πάνυ, ὑπολαζούριον, χροιὰν ἔχον ποικίλην, παρ' αἰγιαλοῖς καὶ λίμναις εὑρισκόμενον. τοῦτο εἰς τοὺς αἰγιαλοὺς τίκτει. ὅταν δὲ τίκτῃ τὰ ἑαυτῆς ᾠά, γίνεται ὑπὸ τῆς προνοίας μεγάλη γαλήνη εἰς τὴν θάλασσαν ὥστε μὴ ἐγείρεσθαι κύματα· παρὰ γὰρ τὸ χεῖλος τῆς θαλάσσης γεννᾷ ὅπου μάλιστα κλύζουσι τὰ κύματα. ἐσθίει δὲ τὰ μικρὰ ἰχθύδια. ὅταν οὖν νεοσσοποιήσῃ καὶ πετασθῶσι τὰ νοσσία, πάλιν ἡ θάλασσα κατὰ τὸ εἰωθὸς κλύζεται.

Τούτου τοῦ ὀρνέου ἐάν τις τοὺς ὀφθαλμοὺς δήσας ἐν ῥάκει θέσῃ πρὸς κεφαλὴν πολλὰ κοιμωμένου, ἀποδιώξει ἀπ' αὐτοῦ τὸν ὕπνον. ἐὰν δέ τις βαστάζῃ τοὺς ὀφθαλμοὺς πλέων εἰς πλοῖον, οὐ φοβηθήσεται ζάλην ἢ χειμῶνα ἢ οἱανδήποτε ἀνάγκην. κυβερνήτης δὲ πλοίου ἐὰν βαστάζῃ τὰ ᾠὰ αὐτοῦ, ἀσφαλῶς καὶ ἀχειμάστως κυβερνήσει τὸ πλοῖον.

I O D N K

2 ἀλκυωνὶς πτηνὸν K / ἐστὶ στρουθίον DN / θαλάσσιον ὑπάρχει δὲ εὔμορφον K / εὔμορφον om.DN / πάνυ om.K / πάνυ ὡραῖον DN / ὑπολαζουρίζον DN : ὑπολάζουρον K 2-10 ἀλκυὼν - πολλὰ om.O 3 εὑρισκόμενον : διατρίβον DN : ἐνδιαιτώμενον K / τοῦτο - 4 αἰγιαλοὺς om.DNK / καὶ ἐντὸς τοῦ ὕδατος τίκτει DN / ἐν οἷς καὶ τίκτει K / ὅτε οὖν τέξῃ DN / δὲ : οὖν K / τὰ - ᾠὰ om.IK / γίνεται : γαλήνη K ὑπὸ - προνοίας om.IK 5 γαλήνη : γίνεται K / γαλήνη ὡς μηδὲ κλύζεσθαι I / εἰς : ἐν K : om.I / τῇ θαλάσσῃ ἐφ' ᾗ τίκτει K / ὥστε - κύματα om.IK 6 παρὰ : εἰς K / τῆς θαλάσσης : αὐτῆς K / ὡς εἴρηται τίκτει K / ὅπου - κύματα om.K / μάλιστα om.I / κλύζει I / τὰ κύματα om.I 7 ἔδεται K / ὅτε DN / οὖν : δὲ K / νεοττοποιήσῃ DN : νοσσοποιῇ I / πετάσουσι DN 8 οἱ νεοττοὶ τότε K 9 τοῦτο τὸ πτηνὸν DN / τὶς ἀγρεύσῃ DN / τοὺς - δήσας om.DN / καὶ διὰ ῥάκους DN / θέσῃ om.DN / θέσῃ - 10 κεφαλὴν : περιάψῃ τοῖς ὀφθαλμοῖς K / τῇ κεφαλῇ δήσῃ ὁ DN τοῦ πολλὰ K / κοιμώμενον I : κοιμώμενος DN / ἀποδιώκει O : ἐκδιώξει DN / ὕπνον ἀφ' ἑαυτοῦ DN 10-12 ἐὰν - ἀνάγκην om.DN 10 ἐὰν - 11 τὶς om.K / ὁμοίως ὁ τούτους βαστάζων K / ὀφθαλμοὺς αὐτοῦ O / τοὺς - πλοῖον om.K / φοβηθήσεται πλέων K 12 χειμῶνας O / οἱανδήποτε ἀνάγκην : ἄλλον τινὰ κίνδυνον K / ὡσαύτως καὶ κυβερνήτης K / ὁ δὲ κυβερνήτης IO / δὲ πλοίου om.IOK / ἐὰν om.K / βαστάζων K / βαστάζῃ - 13 ᾠὰ om.IO / φορῇ αὐτοὺς IO / ἀχειμάντως IO : ἀκυμάστως D / σκάφος IO.

Ἡ δὲ καρδία αὐτοῦ ...

ἐν πᾶσι καὶ εἰρηνικὸν ποιεῖ τὸν φοροῦντα· κἂν ἐν μέσῳ πολεμίων πέσῃ οὐ μὴ ἀδικηθῇ, οὐδ' ἀπὸ χειμῶνος, οὐδ' ἀπὸ κεραυνοῦ οὐ μὴ βλαβῇ, ἀλλ' ἔσται ἐν πᾶσιν ἐπιχαρὴς καὶ ἥσυχος. δεῖ δὲ ἐν τῷ ἰδίῳ δέρματι φορεῖν συρραφεῖσαν καὶ ἐν χρυσῷ σωληναρίῳ αὐτὴν ἐμβαλεῖν.

Ἐὰν δέ τις ἁλιεὺς βαστάζῃ τὴν κοιλίαν ἢ τὴν κεφαλὴν ἢ τὰ πτερὰ αὐτοῦ, οὐδέποτε ἀστοχήσει τῆς ἁλείας. ἐσθιόμενον δὲ τὸ στρουθίον ὀπτὸν σὺν τοῖς πτεροῖς ἀποπληξίαν καὶ μανίαν ἰᾶται. ἐν οἴκῳ δὲ κείμενον μάχας στρέφει. (86)

14-18 ἡ δὲ - ἐμβαλεῖν om.DN 14 αὐτοῦ om.K 15 ἐν om.K / καὶ εἰρηνικὸν om.K φοροῦντα οὐ μὲν ἀλλὰ καὶ εἰρηνικὸν K / πολέμου ἐμπέσῃ K 16 οὔτε ὑπὸ K / οὐδ': ἢ K / ἀπὸ om.K / οὐ μὴ om.K / βλαβῇ : βλαβήσεται K 17 ἐν om.K / ἡσύχιος K / δὲ αὐτὸν K 18 φορεῖν om.K / καὶ om.K / σωλῆνι K / αὐτὴν om.K / ἐμβαλεῖν : φορεῖν K 19 τὶς om.DN / ἁλιεὺς φορῇ τὴν κεφαλὴν αὐτοῦ δὴ τοῦ ζῴου K / βαστάζῃ om.K / ἢ τὴν K / ἢ - κεφαλὴν om.K / τὰ om.IO 20 αὐτοῦ om.IOK / περὶ ἄγρας ἀστοχήσει K / τῆς ἁλείας om.K / ἁλείας : ἄγρας DN / τὸ τοιοῦτον K 21 ἑφθὸν DN : om.K / σὺν - πτεροῖς om.DNK / ἀποπληξίας καὶ μανίας K : om.IO / δαιμονιοῦντας θεραπεύει I : δαιμονιῶντας παύει O 22 ἀποκείμενον DN / τρέπει K : ἀποτρέπει DN.

Scholia marginalia.

2 ἡ λεγομένη πανδὼν K 11 εἰς τὸ μὴ φοβεῖσθαι ζάλη ἢ χειμῶνα ἢ οἱανδήποτε ἀνάγκην τὴν ἐν πλοίῳ πλέων O 12 εἰς τὸ ἀχειμάντως καὶ ἀσφαλῶς κυβερνᾶν πλοῖον O 14 εἰς τὸ εἶναι εὔμορφον, ἐρωτικόν, φιλητὸν ἐν πᾶσι, εἰρηνικὸν καὶ ἐν μέσῳ πολεμίων καὶ χειμῶνος καὶ κεραυνοῦ καὶ ἐπιχαρὴς καὶ ἥσυχος O 19 εἰς τὸ εὐστοχεῖν τοὺς ἁλιεῖς O 21 εἰς τὸ ἀποπαῦσαι δαιμονιῶντας O 22 εἰς τὸ στρέφειν τὰς ἐν οἴκῳ μάχας O.

## 3. Περὶ ἀλέκτορος.

Ἀλέκτωρ πτηνόν ἐστι κατοικίδιον πᾶσι γνωστόν.

Τούτου ἡ κοιλία καυθεῖσα, τριφθεῖσά τε καὶ ποθεῖσα, δυσεντερικοὺς ἰᾶται. ἐὰν δὲ τοὺς ὄρχεις καὶ τὸ ὀρθοπύγιον συνεχῶς τις ἐσθίῃ, ἔντασιν καὶ πρὸς συνουσίαν τὴν ὁρμὴν ἐγείρει.

Ἀλέκτορος παλαιοῦ ὁ ζωμὸς πινόμενος ὑποσύρει τὴν γαστέρα. τὸ δὲ αἷμα αὐτοῦ ἐρυσιπέλατα καὶ χίμετλα ἰᾶται, καὶ τοὺς θαλάσσιον λαγὼ φαγόντας. ἐὰν δέ τις προφαγὼν σκόρδα πίῃ θερμὸν τὸ αἷμα σὺν οἴνῳ , παντοῖον ἑρπετὸν οὐ φοβεῖται. μετὰ δὲ ἀλφίτων φυραθὲν καὶ δοθὲν ὅσον καρύου μέγεθος ὡς ἐπὶ ἡμέρας δέκα φαγεῖν, τοῖς αἷμα ἀνάγουσι βοηθεῖ.

Ἡ δὲ χολὴ αὐτοῦ μετὰ χυλοῦ χελιδονίας βοτάνης καὶ μέλιτος ἐγχριομένη ὀξυωπίαν παρέχει εἰς ἄκρον. ἡ δὲ κόπρος αὐτοῦ σὺν ὄξει καταπλασσομένη, λυσσοδήκτους καὶ τραύματα θεραπεύει. μαραίνει δὲ καὶ δοθίνας ἐπιτεθεῖσα σὺν ὄξει. ὁ δὲ ἐγκέφαλος αὐτοῦ σὺν ὄξει, πινόμενος οὐ μετ' ὄξους ἀλλὰ μετὰ κονδίτου, ἐχιοδήκτοις ἀρήγει. (85) οἱ δὲ ὄρχεις σὺν οἴνῳ ποθέντες, ἀφροδισίαν παρορμῶσι καὶ εὐεξίαν παρέχουσι.

Τῆς δὲ κοιλίας ἔσωθεν ὑμὴν ὁ κερατοειδής, ὃν καλοῦσιν ἐχῖνον, οἱ δὲ σιφούκιον, βληθεὶς εἰς οἶνον καὶ ξηρανθεὶς καὶ λεῖος σὺν ἅλατι ποθεὶς ἢ κονδίτῳ, νεφρικοὺς ἄκρως ἰᾶται. ὁ δὲ ἐν τῇ κεφαλῇ λόφος τοῦ ἀλέκτορος μετὰ χονδρολιβάνου καὶ ὀλίγου κέρατος ἐλαφείου φορούμενος, ἀποστρέφει πάντα φόβον νυκτερινόν, καὶ πᾶν συνάντημα φαῦλον, καὶ ἄφοβον ποιεῖ τὸν φοροῦντα. ἡ δὲ κόπρος πινομένη εἰς εὔκρατον τοὺς ἀπὸ μυκτήρων πνιγμοὺς θεραπεύει παραδόξως.

I D N

1 περὶ ἀλέκτορος om.DN 2-5 ἀλέκτωρ - ἐγείρει om.I 6-25 ἀλέκτορος - παραδόξως om.DN 15 δοθῆνας I 20 σιφούκιον vox nova.

6 Diosk. II 49,2.6.

## 4. Περὶ ἀηδόνος.

Ἀηδὼν στρουθίον ἐστὶ γνωστὸν πᾶσι, παρόμοιον χελιδόνι. τοῦτο ἔαρος ἀρχομένου οὐδέποτε παύεται ᾄδον νυκτὸς καὶ ἡμέρας, καὶ λιγυρᾷ τῇ φωνῇ, ὅθεν καὶ τοὔνομα ἔχει διὰ τὸ ἀεὶ ᾄδειν.

Τούτου τὴν καρδίαν ἔτι σπαίρουσαν εἴ τις μετὰ μέλιτος καταπίῃ, ἄλλην δὲ καρδίαν τοῦ αὐτοῦ ὀρνέου σὺν τῇ γλώσσῃ φορῇ, ἔσται ἡδύλαλος καὶ εὔφωνος καὶ ἡδέως ἀκουόμενος. ἐὰν δὲ τοὺς ὀφθαλμοὺς ζώσης ἀφελῇ τις καὶ περιάψῃ, ὁ φορῶν οὐδ' ὅλως κοιμηθήσεται οὐδὲ ὕπνου εὔνοιαν ἕξει, ἕως οὗ φορεῖ αὐτούς. παύουσι δὲ πᾶσαν ἀηδίαν. ἡ δὲ χολὴ χριομένη σὺν μέλιτι, ὀξυωπίαν ἄκρως παρέχει.

A I

1-10 περὶ - παρέχει in.mg.A 1 ἐδῶνος A 2 ἐδὼν A / γνώριμον A / πᾶσι - χελιδόνι om.A 3 ἐν ἀρχῇ ἔαρος A / κατᾷδον A / λιγυρᾷ scripsi : λιγυρῇ AI 4 τὴν φωνὴν A / ὅθεν om.A / τὸ ὄνομα A / ἔσχεν A 5 ἔτι om.A / σπαράττουσαν A 6 ἄλλοι I / τοῦ - ὀρνέου om.A 7 εὔλαλος A / λιγύφωνος A / εἰ δέ τις A / ὀφθαλμοὺς αὐτοῦ A 8 ζώσης - καὶ om.A / οὐδὲ κοιμήσεως παύει A / οὐδὲ - 9 ἕξει om.A / possis ἔννοιαν / οὗ : ἂν A / φορεῖ om.A / αὐτοὺς βαστάζει A / παύουσι - ἀηδίαν om.A 10 μέλιτι χριομένη A / ἄκρως om.A.

8 Kyr. I 5, 24.

## 5. <Περὶ ἅρπης>.

Ἅρπη ὀρνεόν ἐστιν ἁρπακτικόν, ὅμοιον γυπί, μικρότερον δὲ καὶ ξανθόν. τούτου ἡ γαστὴρ ξηρὰ λειωθεῖσα καὶ σὺν ἀλφίτοις ποθεῖσα δυσουρίαν ἰᾶται, καὶ τοὺς ἐν τῇ κύστῃ λίθους θρύπτει, καὶ εἰλεὸν ἤτοι χορδαψὸν θεραπεύει. πέψιν δὲ ἀκροτάτην ἐργάζεται ἡ γαστὴρ τοῦ ὀρνέου τούτου καὶ ἐσθιομένη καὶ φορουμένη.

I

4 εἰλεὸν scripsi : εἴλιβον I.

2 Kyr. I 6,11.

Αἴθυια πτηνόν ἐστι θαλάσσιον, ἀκόρεστον, πᾶσι γνωστόν. τοῦτο ἐὰν ὑπαντήσῃ πλοῖον ἀρμενίζον καὶ πτερυξάμενον δύνῃ εἰς τὴν θάλασσαν, προσημαίνει κίνδυνον τῷ πλοίῳ· ἐὰν δὲ ἐπιπτερυχθῇ ἢ ἐπὶ πέτραν στῇ, εὔπλοιαν δηλοῖ.

Ταύτης τὸ αἷμα ἀντιφάρμακόν ἐστι πρὸς ἰοβόλα θηρία. ἡ δὲ γαστὴρ ξηρὰ πινομένη, εἴτε φορουμένη πέψιν εἰς ἄκρον καὶ εὐστομαχίαν παρέχει. ἡ δὲ χολὴ σὺν κεδρίᾳ ἐπιχρισθεῖσα, τὰς προεκταλείσας τῶν βλεφάρων τρίχας οὐκ ἐᾷ ἀναφυῆναι. ὅλη δὲ ἡ αἴθυια ταριχευθεῖσα καὶ ἐσθιομένη ἐλεφαντίασιν ἰᾶται. τὰ αὐτὰ δύναται καὶ πρὸς σπλῆνα. τὰ δὲ ᾠὰ αὐτῆς δυσουρίαν καὶ νεφροὺς καὶ στόμαχον ἰᾶται.

A G H F I O W K S

1 περὶ αἰθυίας om.IK / εὐθείας Ε΄ WS / πτηνοῦ λεγομένου αἴθυια κεφάλαιον οβ΄ O
2 θαλάττιον K / ἀκόρεστον om.WKS / σχεδὸν πᾶσι δῆλον K  3 ἀπαντήσῃ WKS / πλοίῳ
IO / ἀρμενίζοντι I / πτερυξάμενος A : πτερυσσόμενον WKS / δύνῃ – 4 ἐπιπτερυχθῇ
om.S / προσμένει GHF : (τοῦτο K) προμηνύει WK / τῷ πλοίῳ om.WK / δὲ om.H / πτε-
ρυσσόμενον μείνῃ ἄνωθεν τῆς θαλάσσης  WKS / ἢ – στῇ om.WK  6 ἐστὶ om.O  7 αὐτῆς
ξηρὰ λεία K / εἴτε : ἢ GHF : καὶ IO : om.WKS / θεοφορουμένη GHF : om.WKS / πέμ-
ψιν WS  8 παρέχει τῷ πίνοντι WKS / χολὴ αὐτῆς WS / (σὺν τῇ om.WS) καρδίᾳ σαπεῖ-
σα καὶ WKS / κεδρίᾳ om.WKS / προεκταθείσας GHF : προεκβληθείσας WKS / προεκτα-
λείσας : τέλλω – ἐτάλην sicut στέλλω – ἐστάλην / τῶν βλεφάρων om.WKS  9 ἐᾷ αὔ-
θις WKS / εὐθεία WS  10 βρωθεῖσα ἐλεφαντίωσιν (φαντασίωσιν K)(φαντίωσιν S) WKS
ἐλεφαντίας GHF / τὰ αὐτὰ om.K / δύναται : ποιεῖ WKS / σπληνιακοὺς (σπληνικοὺς
K) WKS  11 αὐτῆς ἐσθιόμενα WKS / καὶ νεφροὺς om.K / ἰῶνται WKS.

Scholia marginalia.

2 εἰς τὸ γινώσκειν εἰ εὐπλοήσῃ πλοῖον ἢ οὐ  O  6 εἰς ἰοβόλα θηρία ἀντιφάρμακον εἰς πέμψιν καὶ εὐστομαχίαν, εἰς τὸ μὴ ἀναφυῆναι τὰς προσταλείσας τῶν βλεφάρων τρίχας O  10 εἰς ἐλεφαντίασιν καὶ σπλῆνα, εἰς δυσουρίαν, νεφροὺς καὶ στόμαχον O.

Βορὸς ὄρνεόν ἐστι πᾶσι γνωστόν. τοῦτο γάρ ἐστιν, ὃ κορώνην ὀνομάζουσι πάντες. ὑπάρχει δὲ φύσει πονηρόν, αἰθίοπος ἔχον χροιάν.

Τούτου ἡ κόπρος σὺν οἴνῳ ποθεῖσα, δύσπνοιαν καὶ βῆχα ἰᾶται. τὸ δὲ αἷμα ξηρὸν ὅσον κοτύλη α΄ σὺν οἴνῳ ποθὲν ὑδρωπικοὺς ἰᾶται. ἡ δὲ καρδία ὀπτηθεῖσα, ἐὰν γυναικὶ λάθρα δοθῇ ἐν βρώσει ἢ ἐν ποτῷ, φίλτρον ἐργάσεται αὐτῇ πρὸς τὸν ἄνδρα. καὶ γυνὴ δὲ καὶ ἀνὴρ ἑτεροφρονοῦντες ἀλλήλοις ἢ ὁ ἕτερος πρὸς τὸν ἕτερον, ἐὰν λάβωσιν αὐτὴν ἐν βρώσει ἢ πόσει ὡς εἴρηται, εἰς ὁμόνοιαν τρέψουσι τὸ μῖσος.

Τὸν δὲ ἐγκέφαλον τοῦ ὀρνέου σὺν μέλιτι καὶ σατυρίῳ ἐὰν περιχρίσῃς τὸ αἰδοῖον, μεγίστην ἡδονὴν παρέξει τῷ συνουσιάζοντι πρὸς τὴν γυναῖκα. καὶ πάνυ ἀγαπηθήσῃ παρ' αὐτῆς, καὶ οὐδενὶ ἑτέρῳ κολληθήσεται πλὴν σοῦ.

D N K

2 ἐστὶ ὄρνεον παρὰ δέ τισι λεγόμενον κορώνην K / ἐστὶ μέλαν DN / ὃ πάντες ἴσα-
σι K / τοῦτο – 3 πάντες om.K / ὑπάρχει – χροιὰν om.DN  4 τούτου : οὗ K / ποθεῖ-
σα ὑδρωπικοὺς ἰᾶται K / τε καὶ K / ἰᾶται om.K / καὶ τὸ K   5 δὲ om.K / αἷμα δὲ
τούτου K   6 καρδία αὐτοῦ K / ὀπτηθεῖσα καὶ λειωθεῖσα καὶ βληθεῖσα K / ἐὰν –
δοθῇ om.K / βρώματι K / ἐν om.K / πώματι K  7-12 φίλτρον – μῖσος : καὶ δοθεῖσα
γυναικὶ πάνυ ἀγαπηθήσεται παρ' αὐτῆς, εἰ τοῦτο ποιήσῃς. εἰ δὲ κρατῆται καὶ φο-
ρεῖται ὑφ' ἑνὸς μέρους τοῦ ἀνδρογύνου, ὁμόνοιαν μεγάλην παρέχει τὸ τοιοῦτον
ἀνδρόγυνον K   10 ὁ δὲ ἐγκέφαλος DN / τοῦ ὀρνέου om.K / σατυρίῳ scripsi : σατω-
ρίῳ DNK / ἐὰν om.DN / περιχριόμενον DN  11 σφὸν αἰδοῖον καὶ συνέλθῃς K / μεγί-
στην – τὴν om.K  12 γυναικὶ K / καὶ om.K / ἀγαπήσει αὐτὸν DN   13 αὐτοῦ DN.

8. Περὶ βούφου.

Βοῦφον λέγουσίν τινες ὄρνεον φιλάγρυπνον. ἡμέρας μὲν μὴ φαινόμενον, νυκτὸς δὲ πέμπει φωνὰς μεγάλας καὶ βοάς.

Τούτου ὁ ὄνυξ εὔστοχός ἐστι καὶ φυλακτικός, περιαφθεὶς ἀνθρώποις ἐν πάσαις συκοφαντίαις. καὶ πρὸς τοὺς προερχομένους εἰς λάφυρα καὶ τοὺς ψευδομένους νικῶσιν.

A G H F I O

1 στοιχεῖον β΄ περὶ AGHF / βοῦφος = βύας, βύζα / περὶ βούφου om.I / ὀρνέου λεγομένου βούβονος κεφάλαιον ογ΄ O 2 φαινόμενος A 5 ἐκ πάσης συκοφαντίας GHF malim εἰς πάσας συκοφαντίας / ἐν – 6 νικῶσιν om.IO

Scholia marginalia.

2 τὸν βούβονα λέγει O 4 εἰς εὐστοχίαν καὶ φύλακας O.

Physiol. 5.

9. Περὶ γυπός.

Γὺψ μέγιστον ὄρνεον καὶ πολύχρηστον, πᾶσι γνωστόν.

Τοῦ μὲν νεοσσοῦ τοῦ γυπὸς ἡ χρῆσίς ἐστιν αὕτη. ὀστᾶ ἐκ τῆς κεφαλῆς αὐτοῦ περιαφθέντα ἐν μίτῳ πορφυρῷ περὶ τὸν ἀγκῶνα κεφαλαλγίαν ἰᾶται καὶ χρονίαν σκότωσιν κεφαλῆς.

Ὁ δὲ ἐγκέφαλος αὐτοῦ λειωθεὶς σὺν κεδρίᾳ καὶ ἐλαίῳ παλαιῷ, καὶ περιχρισθεὶς τοῖς κροτάφοις πᾶσαν κεφαλαλγίαν ἰᾶται καὶ κάρωσιν. ἡ δὲ χολὴ αὐτοῦ μετὰ μέλιτος καὶ χυλοῦ πρασίου καὶ ὀποβαλσάμου χρισθεῖσα τοῖς ὀφθαλμοῖς ὀξυωπίαν ποιεῖ, ἀλλὰ καὶ ὑπόχυσιν ὀφθαλμῶν θεραπεύει. τὸ δὲ στέαρ μιχθὲν σὺν χοιρείῳ στέατι βοηθεῖ ἀρθριτικοῖς, τρομώδεσι, καὶ ψυγμένοις, ποδαγροῖς, στομαχικοῖς, καὶ παραλυτικοῖς τοῖς ἀπὸ κενώσεως σπωμένοις. (87)

Ἡ δὲ καρδία αὐτοῦ ἐν δέρματι δεθεῖσα λύκου καὶ βραχίονι φορεθεῖσα, πᾶσαν αἱμορραγίαν ἵστησι. φεύξεται δὲ πᾶς δαίμων τὸν φοροῦντα, καὶ λησταὶ καὶ θηρία. ἕξει δὲ χάριν πρὸς πάντας ἀνθρώπους καὶ πάσας γυναῖκας, καὶ ἐν εὐπορίᾳ βιώσει. ἔσται δὲ καὶ νικητικὸς εἰς πᾶν πρᾶγμα.

Τοῦ δὲ μεγάλου γυπὸς ἡ καρδία ἑψηθεῖσα καὶ δοθεῖσα ἐν βρώματι λάθρα, ἢ ξηρὰ ἐν ποτῷ δοθεῖσα γυναιξίν, μεγάλην φιλίαν καὶ πόθον ἐρωτικὸν αὐταῖς ἐμποιεῖ.

A G H F I O W K S

1 στοιχεῖον γ΄ περὶ AGHF / ὀρνέου λεγομένου γύπου κεφάλαιον οδ΄ O / περὶ γυπὸς om.K 1-32 περὶ – ἱδρώσῃ om.WS 2 μέγιστον om.K / ὄρνεόν ἐστι K / καὶ πολύχρηστον om.K / πολύχρονον GHF / γνώριμον K 3 τοῦ : τούτου K / μὲν – γυπὸς om.K / τοῦ : τῆς H / χρῆσις : δύναμις K / τοιᾶδε K / ὀστᾶ : πτερὰ K 4 ἐν – πορφυρῷ om.K / περὶ τὸν τράχηλον καὶ K / τοῦ κεφαλαλγοῦντος τοῦτον ἰῶνται. ὁμοίως ἰῶνται K 6 αὐτοῦ ὀπτηθεὶς καὶ K / παλαιῷ om.K 7 κροτάφοις τοῦ πάσχοντος K / ἰῶνται K / κάρωσιν scripsi : κάρον AGHF / καὶ κάρωσιν om.IOK 8 αὐτοῦ om.AGHFIO καὶ ὀποβαλσάμου – 9 ἀλλὰ καὶ om.AGHFIO / ὑπόχυσιν δὲ O 10 ὀφθαλμῶν om.AGHFIO αὐτοῦ μιγὲν θείῳ K / σὺν om.K 11 παραλυτικοῖς, τρομομένοις K / τρομώνδεσι GHF καὶ om.O / ἐψυγμένοις O 11-20 καὶ ψυγμένοις – ἐμποιεῖ om.K 12 πωμένοις GHF 13 εἶτα ἡ AGHO / δὲ om.AGH / δὲ ἡ O / αὐτοῦ om.O / λύκου – φορεθεῖσα om.AGH / ἡ δὲ – 14 πᾶσαν om.F / rectius φορηθεῖσα / ἰᾶται IO 15 πάντα ἄνθρωπον καὶ πρὸς IO 18 δὸς A : ποθεῖσα GHF 19 καὶ φιλίαν AGHF / πόθον lit. vac. GHF.

ὁ δὲ ἐγκέφαλος αὐτοῦ ὀπτὸς σὺν ἄρτῳ καὶ ἅλατι βρωθεὶς ληθαργικοὺς καὶ νεφριτικοὺς θεραπεύει. τὸ δὲ αἷμα αὐτοῦ ξηρόν, λειωθὲν μετὰ χαμαιλέοντος ῥίζης καὶ κεδρέας καὶ ἐπιχρισθὲν ἐρυσιπέλατα ἰᾶται, καὶ πυρώματα ἰᾶται, μάλιστα μαστῶν ἐπιτιθέμενον ἐπάνω σεύτλου φύλλων. τὰ δὲ ἔντερα αὐτοῦ ἑφθὰ μετὰ ἅλατος βρωθέντα, πόνον κοιλίας καὶ κοιλιακοὺς ἄκρως ἰῶνται. σὺν δὲ τούτοις καὶ ἡ κοιλία βρωθείτω, ἥτις καὶ <ἐ>ψηθείτω ἕως ἂν τακῇ. ἡ δὲ κόπρος αὐτοῦ μετὰ ῥοδίνου τριβομένη καὶ συγχριομένη πυρέσσοντος τὸν τούτου πυρετὸν ἀποδιώκει. αὐτὴν δὲ μόνην τὴν κόπρον ἐὰν ὑποθυμιάσῃς γυναῖκα, αὐτῇ ὑστέραν μεγάλως ὠφελήσεις. ἰᾶται γὰρ αὐτῆς πᾶν πάθος εἰς τὰ ἐντός. ἰᾶται καὶ ὑστερικὴν πνίγα, ἐκβάλλει καὶ τὰ ἔμβρυα, ὠφελεῖ δὲ καὶ μαινομένοις. ἰᾶται καὶ γυναικομανίας. ἡ δὲ δοκιμὴ αὐτῆς ἐστιν αὕτη: ἐὰν θυμιάσῃς τὸν πάσχοντα καὶ ἱδρώσῃ, ἐπ' ἀληθείας μαινόμενός ἐστιν. εἰ δ' οὐκ ἄλλο ἐστὶ πάθος. ὁμοίως καὶ ἐπιληπτικοὺς ἐλέγχει.

Οἱ δὲ πόδες αὐτοῦ βασταζόμενοι πρὸς εὐτυχίαν λόγων καὶ ἐπίτευξιν πραγμάτων καὶ σιγὴν ἐχθρῶν καὶ νίκην ἀντιδίκων ἄκρως καὶ παραδόξως ποιοῦσι. οἱ δὲ ὄνυχες αὐτοῦ καέντες καὶ λειωθέντες σὺν οἴνῳ παλαιῷ καὶ συγχριόμενοι τὸ σῶμα ὅλον καὶ πινόμενοι πρὸς νίκην ἐχθρῶν ποιοῦσι. τὸ δὲ στόμα αὐτοῦ σὺν τῇ γλώσσῃ αὐτοῦ φορούμενον ποιεῖ πρὸς ὁδοιπορίας νυκτερινάς. ἀπελαύνει γὰρ δαίμονας καὶ θηρία καὶ πᾶν ἑρπετὸν καὶ πᾶν κακόν, καὶ ἁπλῶς εἰπεῖν πᾶσαν νίκην καὶ χρημάτων εὐπορίαν παρέχει καὶ λόγων εὐτυχίαν καὶ αἰτίας εὐλογοῦσα καὶ δόξαν καὶ τιμὴν τῷ φοροῦντι προξενεῖ. φόρει οὖν σὺν τῇ γλώσσῃ καὶ τοὺς ὀφθαλμοὺς τῷ σώματι ἁγνὸς ὤν.

21-34 ὁ δὲ – ἐλέγχει om.AGHFIO 25 rectius ἑφθέντα 27 ψηθείτω codd. 33 ταῖς ἀληθείαις K 34 οὐκ scripsi : οὖν codd. 35 βασταζόμενοι – λόγων : τὸν κρατοῦντα αὐτοὺς πολλὴν ὠφέλειαν (λόγου K)(ἄγουν WS) WKS / συντυχίαν GHF 36 καὶ – ἐχθρῶν om.WKS / νίκην ἐχθρῶν καὶ WKS / ἄκρως ποιοῦσι IO / ἄκρως – παραδόξως om.WKS 37 ποιοῦσι : παρέχουσι WKS / αὐτοῦ σὺν τῷ στόματι καυθέντες WKS / μετὰ οἴνου παλαιοῦ WKS 38 συγχριόμενοι – 39 ποιοῦσι : περινιψάμενος (πυρὶ νιψάμενος W)(τὶς K) τῷ προσώπῳ (τὸ πρόσωπον K) τὸν νιψάμενον (τοῦτον K) ἀνώτερον ἀποδεικνύουσι παντὸς ἐχθροῦ WKS / αὐτοῦ – αὐτοῦ om.WKS / ποιεῖ om.WKS 40 πρὸς : εἰς WKS / νυκτερινὰ φάσματα καὶ δαίμονας ἀπολαύνει (ἀπελαύνει K) ὁμοίως WKS / θηρία ἀποδιώκει WKS 40-43 καὶ πᾶν – προξενεῖ om.WKS 41 πᾶσιν AGHF 42 παρέχει om.IO / ἐντυχίαν IO / εὐλογοῦσα om.IO 43 τὸν φοροῦντα A / ὁ δὲ φορῶν σὺν τῷ στόματι τὴν γλῶτταν (γλῶσσαν K) αὐτοῦ WKS 44 τῷ σώματι om.WKS / καὶ φυλάσσεται ἁγνὸς μεγάλην τιμὴν ἐπιτυγχάνει WKS.

αὐτῆς ἐπὶ ἡμέρας ἑπτά, ἀλείψῃ δὲ καὶ τοῦ ἰδίου ἀνδρός, οὐ συλλήψεται οὐδ' ὅλως.

Τὰ δὲ ὀστᾶ αὐτοῦ καέντα καὶ λειωθέντα ἔχε ὡς ξηρίον, ἰᾶται γὰρ παντοῖον ἕλκος ἐπιπασσόμενον, καὶ ὀδονταλγίαν ὠφελεῖ σὺν οἴνῳ πινόμενον καὶ κλυζόμενον. ἡ δὲ χολὴ σὺν χυλῷ πρασίου καὶ ὀποβαλσάμῳ καὶ μέλιτι λειωθεῖσα πᾶσαν ἀμαύρωσιν καὶ ἀχλὺν καὶ ὑπόχυσιν ἰᾶται ἄκρως.

Τὰ δὲ πτερὰ αὐτοῦ ἐπιθυμιώμενα λήθαργον καὶ ὑστερικὰς πνίγας καὶ φρενιτικοὺς θεραπεύει. καὶ ἁπλῶς εἰπεῖν ὅσα τοῦ ἀετοῦ ἡ φύσις ποιεῖ, τὰ αὐτὰ καὶ ὁ γὺψ ποιεῖ, καὶ διὰ τοῦτο χρηστέον.

45-47 ἐὰν – ὅλως om.WKS 45 ὀρνέου : ζῴου IO / ἀλείψηται AGHFO 46 ἰδίου om.IO ἀνδρὸς αὐτῆς AGHF 48 δὲ ὅλα WKS / ὀστέα AGHF / αὐτοῦ ὀστᾶ K / ἐὰν καύσῃς WKS λειωθέντα om.WKS / ἔχῃς WKS / ὡς om.AGHFIO / ἰῶνται K : ἰώντων WS / γὰρ om.WKS 49 ἐπιπασσόμενα WKS 50 ἐπικλυζόμενα δὲ (τῷ στόματι K) σὺν οἴνῳ (τῷ στόματι WS) ὀδονταλγίας ἰῶνται WKS / καὶ σὺν IO / πινόμενον καὶ om.IO / πρασίῳ AGHFO / ἡ δὲ – 52 ἄκρως om.WKS 53 θυμιώμενα AGHFIO / ὑστερικὴν πνίγα AGHFIO 54 φρενιτικοὺς : νεφρικοὺς WKS / καὶ ἁπλῶς εἰπεῖν om.AHHFIO / ὅσα δὲ ποιεῖ AGHFIO / καὶ τοῦ K ὁ ἀετὸς AIO / ἡ om.K / ἡ – 55 ποιεῖ om.AIO / τοῦ ἀετοῦ – ποιεῖ om.GHF / τοσαῦτα AIO / ἡ τοῦ γυπὸς K / ποιεῖ om.K / καὶ – χρηστέον : ἀλλ' (εἰ om.O) καὶ τοῦ γυπὸς τὰς πλείστας (πλέθας GHF) χρείας (χρῶας GHF) κατελείψαμεν (καταλείψωμεν GHF) κατὰ (καὶ τὰ O) πάντα ὡς τοῦ ἀετοῦ χρή σε (σοὶ O) καὶ ἐπὶ τούτου ποιεῖν AGHFO / καὶ – χρηστέον om.WKS.

Scholia marginalia.

3 εἰς κεφαλαλγίας καὶ χρονίαν σκότωσιν O 7 εἰς πᾶσαν κεφαλαλγίαν O 9 εἰς ὑπόχυσιν O 11 εἰς ἀρθριτικούς, τρομώδεις, ἐψυγμένους, ποδαγρούς, στομαχικούς, παραλυτικοὺς τοὺς ἀπὸ κενώσεως σπωμένους O 14 εἰς τὸ στῆσαι πᾶσαν αἱμορραγίαν καὶ φεῦξαι πᾶς δαίμων καὶ λησταὶ καὶ θηρία καὶ ἕξαι χάριν πρὸς πάντα ἄνθρωπον καὶ πᾶσαν γυναῖκα, καὶ εὐπορῆσαι ἐν βίῳ καὶ ἔσται νικητικὸς O / φυλητήριον θαυμαστὸν A 19 εἰς τὸ ποιῆσαι πρὸς τὰς θηλύας ἔργον φιλίας καὶ πόθον ἐρωτικὸν O 35 εἰς εὐτυχίαν λόγων, ἐπίτευξιν πραγμάτων, γῆν ἐχθρῶν καὶ νίκην ἀντιδίκων O 36 πρὸς νικητήριον ἐχθρῶν O 38 εἰς ὁδοιπορίας νυκτερινὰς ἀπελάσαι δαίμονας, θηρία καὶ πᾶν ἑρπετὸν καὶ πᾶν κακὸν O 42 χρημάτων εὐπορίαν, λόγων ἐντυχίαν, αἰτίαν, δόξαν καὶ τιμὴν O 45 εἰς τὸ μὴ συλλαβεῖν O 49 εἰς παντοῖον ἕλκος καὶ ὀδονταλγίαν O 51 εἰς πᾶσαν ἀμαύρωσιν καὶ ἀχλὺν καὶ ὑπόχυσιν O 53 εἰς ληθάργους, φρενιτικούς, καὶ ὑστερικὰς πνίγας O.

## 10. Περὶ γλαυκός.

Γλαὺξ ὀρνεόν ἐστι πτηνόν, ὃν καὶ νυκτοκόρακα καλοῦσιν, ὃς ἔχει δισκοειδὲς βασίλειον, ἤτοι στέφανον, ἐπὶ τοῦ προσώπου.

Τούτου τὸ ἧπαρ σὺν ῥοδίνῳ ἢ νάρδῳ ἐπιχυθὲν ὠταλγίαν ἰᾶται. ὁ δὲ ζωμὸς αὐτοῦ πινόμενος ἢ ἐσθιόμενος, γάλα κατασπᾷ. ἡ δὲ κεφαλὴ ἐσθιομένη κεφαλαλγίαν καὶ σκοτώματα θεραπεύει. τὸ δὲ ὠὸν αὐτοῦ τὸ ἀρρενικὸν λευκὰς τρίχας βάπτει. γνώσει δὲ ὁποῖόν ἐστι τὸ ἀρρενικὸν οὕτως: βαλὼν εἰς βελόνην ῥάμμα λευκὸν καὶ διὰ μέσου τοῦ ὠοῦ τρυπήσας καὶ διαγαγών, ἐὰν μελανωθῇ τὸ ῥάμμα, ἐστὶν ἀρρενικόν, εἰ δ᾽ οὔκ, ἐστὶ θηλυκόν. ἐὰν δὲ ληγούσης τῆς σελήνης τὸ τοιοῦτον ὄρνεον ἑψήσῃς καὶ δώσῃς φαγεῖν ἐπιληπτικῷ, σωθήσεται. ὡσαύτως καὶ τῷ κατεχομένῳ ὑπὸ τῆς ἱερᾶς νόσου· ἄκρως γὰρ καὶ ταύτην θεραπεύει.

W K S

1 περὶ γλαυκὸς om.K / γλαυκὸς scripsi : γλαύκου Γ´ WS 2 ὄρνεον : ζῷον K / πτηνόν ἐστι K / νυκτοκόρακα K 6 ἀρσενικὸν K 9 τὸ ἀρρενικὸν K / οὐκ scripsi : οὖν WKS 10 τὸ θηλυκὸν K 11 σωθήσεται : ἰᾶται K 12 ὑπὸ : παρὰ WS.

## 11. Περὶ γερανοῦ.

Γερανὸς ὀρνεόν ἐστι πτηνὸν πᾶσι κατάδηλος. τοῦτο τὸ ὄρνεον λίαν ἐστὶ προγνωστικόν. ὅταν γὰρ χειμῶνες βαρεῖς μέλλωσι γενέσθαι, καταλιπόντες τὰ βόρεια μέρη φεύγουσιν ἐπὶ τὰ τῆς Αἰγύπτου, κἀκεῖ διατρέφονται· πάλιν δὲ τῷ καιρῷ τοῦ ἔαρος ὑποστρέφονται οὗτοι ἱπτάμενοι. ἐὰν κράζουσιν, εὐδίαν δηλοῦσιν, ἂν δὲ σιγῶσι, βροχήν. ἐν δὲ τῇ αὐτῶν πτήσει μιμῶνται τὰ τῶν γραμμάτων στοιχεῖα.

Τούτου τὸ στέαρ ἀλειφόμενον, ταχὺ τὴν ὑγείαν τῷ ἀσθενοῦντι φέρει, κἂν ὁποία ᾖ ἡ ἀσθένεια. ἡ δὲ κοιλία ἐσθιομένη εὐπεψίαν ποιεῖ τῷ ἐσθίοντι.

W K S

1 περὶ γερανοῦ om.K 2 ὄρνεον : ζῷον K / possis κατάδηλον / τὸ – 3 ἐστὶ om.K προγνωστικόν ἐστι K 4 καταλιμπάνοντες K / τὰ τῆς : τῆς WS / τὴν Αἴγυπτον WS 5 ἦρος K 6 ἂν : αἱ WS 7 αὐτῶν om.WS / rectius μιμοῦνται 8 φέρει : νέμει K 9 δὲ αὐτοῦ K 10 τῷ ἐσθίοντι om.K

## 12. Περὶ δρυοκολάπτου.

Δρυοκολάπτης οἱ δὲ δενδροκολάπτης, στρουθίον ἰσχυρόστομον, ὅπερ ὅταν τίκτῃ, εἰς κενεῶνα δρυὸς καὶ οὐκ ἀλλαχοῦ τίκτει. ἐὰν οὖν τις μετὰ λίθου ἀναφράξῃ τὴν νοσσιὰν αὐτοῦ καὶ ἀσφαλίσῃ καλῶς, ὡς θέλῃ ἢ μετὰ ξύλου ἢ μετὰ πετάλου σιδηροῦ καὶ ἀναχωρήσῃ, ἔρχεται (88) ὁ δρυοκολάπτης καὶ φέρει βοτάνην ἥντινα γινώσκει, καὶ προστίθησι τῇ καλιᾷ καὶ παραυτίκα ἀνοίγει. ταύτην τὴν βοτάνην ὁ λαβὼν ἀνοίξει πάντα τὰ κλεῖθρα, καὶ οὐδὲν αὐτῷ ἀντιστήσεται.

Οἱ δὲ ὀφθαλμοὶ τούτου φορούμενοι, ὀξυωπίαν παρέχουσιν. τὸ δὲ στόμα αὐτοῦ περιαφθὲν τραχήλῳ πᾶσαν ὀδονταλγίαν καὶ σταφυλῆς πόνον καὶ ἀντιάδα καὶ κυνάγχη ἰᾶται παραυτίκα. ἐσθιόμενον δὲ ἑφθὸν ὑγιείαν ταχεῖαν τοῖς νοσοῦσιν ἐπιφέρει, καὶ τοὺς ἐκ φαρμακίας μαγγανείας δεδεμένους ἰᾶται καὶ εὐεξίαν παρέχει θαυμαστήν.

A G H F I O W K S

1 στοιχεῖον δ´ περὶ AGHF / στρουθίου λεγομένου δρυοκολάπτου κεφάλαιον οε´ O / δενδροκολάπτου Δ´ WS / περὶ δρυοκολάπτου om.IK 2 δενδροκολάπτης ἢ ὥς ἔνιοι δρυοκολάπτης ὄρνεον (ζῷον K) ἐστὶ πτηνὸν πᾶσι κατάδηλον (δῆλον K) τοῦτο λίαν ἐστὶν WKS / στρουθίον om.WKS / ἰσχυρότατον GHF / ὅπερ ὅταν om.WKS 3 ὅτε I / τοῦτο τίκτει WKS / εἰς : ὑπὸ AGHFIO / καὶ – τίκτει om.WKS 4 λιθίου AGH : om. WKS / πετάλου σιδηροῦ φράξῃ WKS / ἀναφράζῃ GHF / ἑαυτοῦ A / καὶ – καλῶς om.AGHF / καλῶς om.IO / ὡς om.GHF / ὡς θέλῃ om.WKS 5 ἢ μετὰ – σιδήρου om.IOWKS / ἀπέλθῃ WKS 6 δενδροκολάπτης WKS / ἥντινα γινώσκει om.IOWKS / προτίθησι K : προστιθεὶς AGHFIO 7 αὐτίκα ἀνοίγεται K / τῇ καλιᾷ – λαβὼν om.AGHFIO / ἀνοίγει IK 8 τὰ om.AGHFO / καὶ – ἀντιστήσεται om.AGHFIO 9 δὲ om.WS / αὐτοῦ HF : τοῦ ζῴου IO / τούτου τοῦ ὀρνέου WS / φορούμενοι τῷ φοροῦντι WKS / παρέχωσιν A : παρέχει K 10 στόμα : σῶμα H / αὐτοῦ om.WKS / περιαπτόμενον WKS 11 συναγχίας A : συνάχας GHFI : συνάνχας O : ἄγχη WS / ἰᾶται παραυτίκα : παραιτεῖται IOWKS rectius ἑφθὲν / ὑγείαν GHF 11-13 ἐσθιόμενον – θαυμαστὴν om.WKS 12 τοὺς : τῆς O / μαγγανείας om.IO 13 περιδεδεμένους AGHF : περιδεδεμένοις O / δίδωσιν I : δίδει O / θαυμαστὴν om.IO.

Scholia marginalia.

4 εἰς τὸ ἀνοῖξαι κλεῖθρα O 5 ἴσως πασσάλου GH 9 εἰς ὀξυωπίαν O 10 εἰς πᾶσαν ὀδονταλγίαν καὶ σταφυλῆς πόνον καὶ ἀντιάδα καὶ συνάνχας O 11 εἰς τὸ δοῦναι ταχείαν ὑγείαν τοῖς νοσοῦσι καὶ τοῖς ἐν φαρμακείᾳ καὶ εἰς εὐεξίαν O.

4 Kyr. I 4, 43.

## 13. Περὶ ἐρωδιοῦ.

Ἐρωδιός ἐστιν ὄρνεον ἐν βωμοῖς ἢ κτίσμασιν τοῖς ἐν πόλεσι σκηνοποιοῦν καὶ φωλεῦον, ἔχον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἀκρόπτερα ὡς βασίλειον ἐπιμηκέστατον ὡσεὶ δακτύλων γ΄.
Τούτου τὸ ῥάμφος μετὰ καρκίνου χολῆς ἐν δέρματι ὀνείῳ εἰ περιάψῃς, τοῖς ἀγρυπνοῦσιν ὑπνῶσαι ποιήσεις. εἰ δέ τις ἐν συμποσίῳ θείη τὸ ῥάκος ἐν ᾧ ἐστι τὸ ῥάμφος εἰς τὸν οἶνον, οἱ πιόντες ἀποκοιμηθήσονται ὡς πολλῶν ἡμερῶν ἄγρυπνοι ὑπάρχοντες καὶ μὴ αἰσθανόμενοι. (89)

A G H F I O T

1 στοιχεῖον ε΄ περὶ AGHF / περὶ τοῦ T / περὶ ὀρνέου λεγομένου ῥωδίου κεφάλαιον ος΄ O 3 σκηνοποιὸν T / τὴν κεφαλὴν T / αὐτοῦ om.T 4 βασιλεὺς ἐπιμηκέστασα T ἐπιμαχίστατον GHF / γ΄: γίνεται O 5 μετὰ : ἐπὶ GHF / καρκίνσουν T / χολὴ σὺν GHF / οἰνείῳ F 6 ποιήσεις : χρήσεις GHF / τὶ O 7 θείη : καθῇ AO : καθὲ GHF ἐν τῷ οἴνῳ T / πίνοντες I 8 ὡς – αἰσθανόμενοι om.IO / ἡμερῶν : ἀνθρώπων GHF ἀγρύπνων AGHF / καὶ – αἰσθανόμενοι om.AGHF.

Scholia marginalia.

5 εἰς τὸ ὑπνῶσαι τοὺς ἀγρυπνοῦντας O 7 εἰς τὸ κοιμῆσαι τοὺς ἐν συμποσίῳ O.



## 14. Περὶ ζήνης.

Ζήνη ἐστὶ στρουθίον τοῦ θεοῦ Διός, ἔχον ἐν τῇ κεφαλῇ μικρὰ πτερὰ ἐρυθρὰ καὶ χρυσοειδῆ ἐν ταῖς πτέρυξι, καὶ ἁπλῶς ὅλος ἐστὶ πεποικιλμένος χροιαῖς. τοῦτον καλοῦσιν ἀστραγαλῖνόν τινες.
Τοῦτο ὀπτὸν βρωθὲν ἢ λεῖον ποθὲν κωλικοὺς καὶ κοιλιακοὺς ὀνίνησι καλῶς. ὃ καὶ τοὺς τὴν φωνὴν αὐτοῦ ἀκούοντας φρονίμους ποιεῖ.

A G H F I O D N W K S T

1 στοιχεῖον ζ΄ περὶ AGHF / στρουθίου λεγομένη ζήνη, κεφάλαιον οζ΄ O / ζήνας ζ΄ WS : ζήνην T / περὶ ζήνης om.IDNK 2 ζῆνα WKS / πτηνόν ἐστι μικρὸν ὅμοιον καλλιγάρῳ DN / ὄρνεον (ζῷον K) ἐστὶ (πτηνὸν K) μικρὸν πᾶσι κατάδηλον (δῆλον S)(γνωστὸν K) τοῦτο (ὃ καὶ K) παρ' ἐνίοις ἀστραγαλῖνος καλεῖται (παρ' ἄλλοις τραγωδῖνος K) ὅπερ WKS / στρουθίον – Διὸς om.DNWKS / ἐστὶ τοῦ Διὸς θεοῦ T / θεοῦ om.IO ἔχει WKS : ἐχομένη GHF / ἐν om.GHF / κεφαλῇ : ἡμέρα κλη GHF / κεφαλῇ αὐτοῦ T / μικρὰ om.AGHFIODNKT / πτερίγια DN 3 δὲ ἐν WS / τοῖς WST / ἁπλῶς εἰπεῖν T / ὅλον IOT / ἐστὶ om.T / ἐν – 4 χροιαῖς om.DN / πεποκιλμένον IOT / καὶ ἁπλῶς – τινὲς om.WKS / χρώαις O / τοῦτον : ὅπερ DN / τοῦτόν τινες T / τινὲς om.GHFT / τινὲς ἀστρογλῖνον DN 5 τοῦτο om.T / καὶ ὀπτὸν T / βρωθὲν ὀπτὸν DN / ἢ – ποθὲν om.AGHFIOT / λειωθὲν ποθεῖ WKS / (εἰς T) κοιλιακοὺς καὶ κωλικοὺς (κωλιακοὺς GHF) AGHFIOT 6 καλῶς ὀνίνησι T : βοηθεῖ καὶ θεραπεύει WS / ὄνησι AGHF : θεραπεύει DN : βοηθεῖ K / ὀνίνησι in mg.GH / καλῶς om.DNWKS / ὃ om.T / αὐτοῦ : καὶ τοῦ T ὃ καὶ – ποιεῖ om.IODNWKS.

Scholia marginalia.

5 εἰς κοιλιακοὺς καὶ κωλικοὺς O.

15. Περὶ ἡλιοδρόμου.

Ἡλιοδρόμος ἐστὶ πετεινὸν ἰνδικόν, ὅπερ ἅμα τῷ γεννᾶσθαι ἀνίπταται πρὸς τὴν ἀνατολὴν τοῦ ἡλίου. ἅμα δὲ τραπῇ ὁ ἥλιος πρὸς δυσμάς, καὶ αὐτοῦ ὑποστρέφει. οὐ ζῇ δὲ πλέον ἐνιαυτοῦ, ἀλλὰ τεκνογονεῖ ἄρρεν ἢ θῆλυ.

Τοῦτο πινόμενον ἔχει χάριν. ἐὰν γάρ τις αὐτὸ ἀναπτύξῃ καὶ τὰ ἐντὸς φορῇ ἐσμυρνίσας, πλουσιώτατος γίνεται. βρωθεὶς δὲ ὑγείαν παρέχει καὶ οὐ νοσεῖ τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ ὁ ἄνθρωπος, καὶ σφόδρα πλουτεῖ, ὡς εἴρηται, ὁ τοῦτον φορῶν.

A G H F I O T

1 στοιχεῖον η΄ περὶ AGHF / πετεινοῦ λεγομένου ἡλιοδρόμου κεφάλαιον οη΄ O / περὶ ἡλιοδρόμου om.I / λείπει τὸ η΄ K  2 τῷ : τοῦ O : om.AGHFT  3 δὲ : ρος GHF / τραπεὶς GHF : τρεπῇ O / αὖθις πρὸς AGHFT / πρὸς : εἰς T  4 καὶ - ὑποστρέφει om. AGHFT / malim καὶ αὐτὸ / δὲ om.T / πλεῖον O / ἀλλὰ καὶ O  5 ἀρρενοθήλυ AGHFOT 6 τοῦτο δὲ A / πινόμενον om.AGHF / γὰρ om.T  7 σμυρνήσας φορῇ T / σμυρνίσας IO ὑγιείαν A : ὑγιείας F  8 νοσείη A : νοσήσει GHF / νοσεῖ ὁ ἄνθρωπος πάσας T / αὐτοῦ om.GHF / ὁ ἄνθρωπος om.IO / ὁ ἄνθρωπος - 9 φορῶν om.T / σφόδρα om.IO / πλατεῖ GH / ὡς - ὁ om.AGHF / τοῦτον om.IO

Scholia marginalia.

6 εἰς χάριν καὶ ὑγείαν καὶ πλοῦτον O.



16. Περὶ θωπείου.

Θωπεῖον ὀρνεόν ἐστι νυκτερινόν. τούτου οἱ ὀφθαλμοὶ καὶ ἡ καρδία φορουμένη ἄφοβον ποιεῖ τὰς νύκτας τὸν φοροῦντα καὶ ἀβλαβῆ εἰς τοὺς ὀφθαλμούς. ἐσθιόμενον δὲ εὐεξίαν καὶ εὐστομαχίαν παρέχει.

A G H F I O T

1 στοιχεῖον θ΄ περὶ AGHF / στρουθίου λεγομένου θρώπειον κεφάλαιον οθ΄ O / περὶ θωπείου om.I  2 θρωπεῖον ὀρνίθιον IO  3 νύκτας ποιεῖ AGHFT / ἀβλαβῆ εἰς om.T 4 ὀφθαλμοὺς ἀβλαβῆ T / ἐσθιομένη A / εὐεξίαν παρέχει AGHF / παρέχει πᾶσι τοῖς χρωμένοις τοῦτο ἐν Ῥόδῳ τῇ νήσῳ καὶ Κύπρῳ πλεῖστα διαιτῶνται T.

Scholia marginalia.

2 τοῦτο εὕρηται ἐν <Ῥόδῳ>τῇ νήσῳ, καὶ ἐν τῇ Κύπρῳ πλεῖσται ἴσασι A / εἰς τὸ εἶναι ἄφοβον τὰς νύκτας καὶ ἀβλαβεῖς ἔχειν τοὺς ὀφθαλμοὺς O  4 εἰς εὐεξίαν O.

17. Περὶ θηρευτοῦ.

Θηρευτὴς πτηνόν ἐστιν, ὃ καὶ πάνθηρ καλεῖται. τούτου τὸ στέαρ σὺν χαλκάνθῳ ἐνιέμενον γάγγραιναν ἰᾶται. σὺν δὲ κηρῷ καὶ λιθαργύρῳ μιγνύμενον, τραύματα παλαιὰ καὶ σύριγγας θεραπεύει. ἡ δὲ κόπρος σὺν ὄξει καὶ ῥοδίνῳ καταχριομένη ἡμικρανίαν ἰᾶται.

D N W K S

1 περὶ θηρευτοῦ om.DNK / θηρευτοῦ θ΄ WS  2 θηρατὴς DN / ὀρνεόν (ζῷον K) ἐστιν πτηνόν. τοῦτο παρά τισι WKS / τούτου : οὗτινος WKS  3 γαγγραίνας WKS  5 ἡμικρανίας WKS.

18. Περὶ ἱέρακος.

Ἱέραξ πτηνόν ἐστι θηρατικόν, πᾶσι δῆλον. τοῦτο τὸ ζῷον κατὰ τὴν τῆς ἰσχύος ῥώμην δύναται ὅσα καὶ ὁ γύψ, ἔλασσον δέ.

Τούτου τὸ ἀφόδευμα μετὰ γλυκέως οἴνου πινόμενον ὠκυτόκιόν ἐστιν, ἐπὶ πλεῖστον ποθέν. (90) ἡ δὲ χολὴ αὐτοῦ σὺν γλυκεῖ καὶ κρόκῳ λυτῇ μιγνυμένη καὶ ἐπιχριομένη, πᾶσαν ἀχλὺν καὶ ἀμβλυωπίαν ἰᾶται. ζῶν δὲ μαδισθεὶς καὶ συνεψηθεὶς σὺν ἐλαίῳ σουσίνῳ ἄχρι τακῇ καὶ διηθουμένου τοῦ ἐλαίου, ὅντινα χρίσεις ἐξ αὐτοῦ πᾶσαν ἀχλὺν καὶ ἀμβλυωπίαν ἰάσει.

Τὸ δὲ πετεινὸν ὀπτὸν ἐσθιόμενον ἱερὰν νόσον ἰᾶται. οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ περιαπτόμενοι τριταῖον παύουσιν. ἡ δὲ καρδία φορουμένη πρὸς πάντα διατηρεῖ ἀβλαβῆ τὸν φοροῦντα.

A G H F I O D N W K S T

1 στοιχεῖον ι´ περὶ AGHF / ὀρνέου λεγομένου ἱέρακος κεφάλαιον π´ O / ἱεράνου (ἱέρανος S) ι´ WS / περὶ ἱέρακος om.DNK  2 ἱερανὸς WS / ἱέραξ τὸ ὄρνεον T / ζῷόν ἐστι πτηνὸν K / θηρατικὸν om.WKS / πᾶσι δῆλον om.DN / παρὰ πάσης ἡλικίας περίδηλον καὶ γνώριμον WS / τὸ ζῷον om.K / πτηνὸν – 3 ῥώμην om.AGHFIOT / τῆς om.K / ἰσχὺν K / ῥώμην om.K / δύναται ἐν ταῖς ἐνεργείαις T / ὅσα – γὺψ : ἴσον ἐστὶ τῷ γυπὶ K / καὶ om.DN / ὁ om.O / ἔλασσον δὲ : ἀλλάσσεται δὲ φυσικῶς (τῇ φύσει K) WKS : om.DNT  4 τούτου om.AGHFIOT / τὸ om.GHF / τὸ οὖν T / ἀμφόδευμα AOK / ἀφόδευμα αὐτοῦ AGHFIOT / γλυκέως τινὸς K / οἴνου om.AGHFIOTWKS / πινόμενον (ὡς WS) ἐπὶ (τὸ WKS) πλεῖστον (πολὺ K) DNWKS / ὡς κυτόκιον WS / ἐστὶν : γίνεται DN  5 ἐπὶ – ποθὲν om.DNWKS / πλεῖον T / σὺν om.DN / λυκείῳ WKS / τῷ καὶ K / κροκολύτῳ WS / κροκολυκίῳ K / ἡ δὲ – 6 ἰᾶται om.AGHFIOT / μιγνυμένη : ἑνουμένη WKS / ἀχλὺν καὶ om.DN  6-9 ζῶν – ἰάσει om.DNWKS  7 μαδιασθεὶς GH / σὺν om.I / ἄχρις ἂν T  8 οἵτινα χρείαν T / αὐτῇ T / ἀβλυωπίαν AT  9 ἰᾶται GHF  10 τὸ – ὀπτὸν om.DNWKS / ὅλον δὲ ἐσθιόμενον ὀφθὸν (ἐφθὸν K)WKS / ἐσθιόμενον δὲ τὸ ὄρνεον ὀπτὸν DN / ἱερὰν ἱερὰν O / ἱερὰν ἰᾶσαι T / ἰᾶται : θεραπεύει DNWKS : om. T / καὶ οἱ T / δὲ om.T  10-12 οἱ δὲ – φοροῦντα om.DNWKS  11 περιαπτόμενοι – καρδία om.T  12 ἀβλαβῆ om.IOT / φοροῦντα καὶ ἀβλαβῆ T.

Scholia marginalia.

4 τοῦτο εἰς ὀφθαλμίαν θὲς καὶ εἰς κέλυφος A / ὠκυτόκιον AO  6 εἰς ἀχμὴν καὶ ἀμβλυωπίαν O  10 εἰς ἱερὰν νόσον O  11 εἰς τριταῖον O 12 εἰς πάντα διατηρητικὸν O.



19. Περὶ ἰκτίνου.

Ἰκτῖνος πτηνόν ἐστιν ἱερόν. τούτου ἡ κεφαλὴ ξηρανθεῖσα ἄνευ τῶν πτερῶν καὶ λειωθεῖσα καὶ πινομένη σὺν ὕδατι ὅσον οὐγ. α´ ποδαγρικοὺς ὠφελεῖ καὶ χειραγρικούς.

D N W S

1 περὶ ἰκτίνου om.DN / ἰκτίνου ι´ W  2 ἐστὶν ζῷον WS / ἱερὸν om.WS / ξηρὰ W : om.S  3 καὶ om.WS / λειωσεσπαμένη ὅσον οὐγ. καὶ WS / ὕδατι ποθὲν WS / ὅσον – α´ om.WS  4 ποδαλγίαν WS / ὠφελεῖ om.WS / χειραλγίαν θεραπεύει WS.

20. Περὶ κορυδάλου.

Κορύδαλος στρουθίον ἐστὶ πᾶσι γνωστόν, λόφον ἔχον ἐν τῇ κεφαλῇ. οὗτος ἑψηθεὶς καὶ ἐσθιόμενος συνεχῶς σὺν τῷ ζωμῷ, κοιλιακοὺς ὠφελεῖ καὶ δυσεντερικούς.

D N W K S

1 περὶ κορυδάλου om.DNK / κορυδάλου scripsi : κονυδαλοῦ K´ WS  2 τὸ κοινῶς λεγόμενον κουτζουλίτης in mg.K / κορυδαλὸς (κονυδαλὸς WS) ὁ καὶ κόρυδος λεγόμενος ὄρνεον (ζῷον K) ἐστὶ πτηνὸν WKS / πᾶσι – κεφαλῇ om.WKS  3 συνεχῶς ἑψόμενος (ἑψιόμενος WS) WKS / ἐσθιόμενος καὶ πινόμενος WKS / συνεχῶς om.WKS.

2 Diosk. II 54.

## 21. Περὶ κόρακος.

Κόραξ πᾶσι γνωστός. οὗτος ἀγρευθεὶς καὶ ζῶν χωσθεὶς ἐν κόπρῳ ἱππείᾳ καὶ σαπεὶς ἐπὶ ἡμέρας μ', εἶτα καυθεὶς καὶ γενόμενος κηρωτὴ ποδαγροὺς θεραπεύει λίαν. ἡ δὲ κόπρος αὐτοῦ ὑποθυμιωμένη ἀλφοὺς λευκοὺς καὶ λεύκην ἰᾶται. τὰ δὲ ὠὰ αὐτοῦ μελαίνουσιν πολιὰς τρίχας.

A G H F I O T

1 στοιχεῖον κ´ περὶ AGHF / ὀρνέου λεγομένου κόρακος, κεφάλαιον πα´ O 2 γνωστὸν AGHF / οὗτος δὲ GHF / χωσθεὶς : aoristus verbi χώννυμι / κοπριᾷ T 3 ἱππείῳ GHF μ´καὶ σαπεὶς T / εἶτα : ἕως GHF : εἰ A / καυσθεὶς A : <καυσ>θεὶς GHF 4 ποδαλγοὺς T / ἡ om.O 5 καὶ τὴν T / λεύκην καὶ κελεφίαν O / τρίχας πολιὰς μελαίνουσιν T.

Scholia marginalia.

2 εἰς ποδαγροὺς O 4 εἰς ἀλφοὺς λευκοὺς O 5 εἰς τὸ μελάναι πολιὰς τρίχας O.



## 22. Περὶ κορώνης.

Κορώνη καὶ δεδώνη καλουμένη, ὀρνεόν ἐστι πᾶσι γνωστόν, ἧς ἡ καρδία φορουμένη ὁμόνοιαν εἰς τὸ ἀνδρόγυνον παρέχει. τὰ δὲ ἐντὸς αὐτῆς ὀπτὰ ἐὰν δῷς γυναικὶ λάθρα, πάνυ σε ἀγαπήσει. ὁ δὲ ἐγκέφαλος αὐτῆς σὺν μέλιτι ἐὰν περιχρισθῇ τῷ αἰδοίῳ καὶ συγγενῇς γυναικί, πάνυ σε ἀγαπήσει καὶ οὐδενὶ ἑτέρῳ κολληθήσεται πλὴν σοῦ.

Ἡ δὲ κόπρος σὺν οἴνῳ ποθεῖσα δύσπνοιαν ἰᾶται. τὰ δὲ ὠὰ αὐτῆς χριόμενα τοῖς αἰδοίοις ἡδονικά ἐστιν ἄγαν καὶ φιλτροποιά, καὶ τρίχας μελαίνουσι καὶ λευκώματα θεραπεύουσι. τὸ δὲ αἷμα αὐτῆς ξηρὸν ὅσον κοχλιαρίων δύο συγκεράσεις, σὺν οἴνῳ ποθὲν ὑδρωπικοὺς ἄκρως ἰᾶται.

Κορώνην λαβὼν ἀσινῆ, ἐάν τις ἀλγῇ τοῦ ποδός, τὸν ὀπίσω δάκτυλον τοῦ δεξιοῦ ἀπότεμε ἀπὸ τοῦ ἄρθρου πλησίον, ὑπὸ παιδὸς ἀφθόρου δήσας γαϊτάνην περίαπτε, τὴν δὲ κορώνην μύρῳ τερεβινθίνῳ ἀλείψας ἢ ἐλαίῳ χρίσας ὅλην ἀπόλυσον ζῶσαν πέτασθαι, τὸν δὲ δάκτυλον αὐτῆς περίαπτε τῷ πάσχοντι ποδί, ἐὰν δὲ τοῦ (91) ἀριστεροῦ ποδός, τὸ ἀριστερόν· ἐὰν δὲ τοῦ δεξιοῦ, τὸ δεξιόν. μὴ οὖν λουέσθω, μηδὲ χαμαὶ πέσῃ τὸ περίαπτον, ἀλλὰ ἐνδήσας δέρματι ἐλαφείῳ φόρει. ὅτε δὲ κόπτῃς λέγε· "αἴρω σου τὸν δάκτυλον πρὸς θεραπείαν ἰσχιάδος, ποδάγρας καὶ πάντων τῶν ἄρθρων". καὶ ἀλείψας ἀπόλυε.

A G H F I O T

1 ὀρνέου λεγομένη κορώνη κεφάλαιον πβ´ O / κορώνης τῆς καρδιδόνης A 2 κορώνης AGHFIO / καὶ - ἡ om.AGHFIO 3 αὐτὸς αὐτῆς T 4 δοίης IO / πάνυ σε om.T / ἀγαπήσει σε T / αὐτοῦ A 5 μέλιτι σατυρίῳ T / ἐὰν om.T / περιχρίσῃς A : περιχρισθῇς GHF : περιχρισθεὶς T / συγγένηται I : συμμιγεὶς T / πάνυ : πολλὰ I 6 ὑπεραγαπήσει T / οὐδὲν T / πλὴν σοῦ om.T 7 ἡ δὲ - ἰᾶται om.AGHFT / τὰ δὲ - 9 θεραπεύουσι om.AGHFIO / αὐτῆς om.AGHFIO 10 ὡσεὶ χουλιαρέου T / συγκεράσας T : om.IO σὺν om.AGHFT / καὶ ποτίσας ὑδρωπικοῖς T 12-20 κορώνην - ἀπόλυε om.T 12 ὄπισθεν IO 13 παιδὸς : ποδὸς A 14 γαϊτάκην A 15 χλίσας G / ἀπόλυε AGHF : ἀπόλυ O 16 ποδὶ : ποδίῳ A : παιδὶ GHF / τὸν ἀριστερὸν τοῦ IO / τὸ - 17 δεξιὸν om.IO / δεξιοῦ τὸ δεξιὸν scripsi : δεξιὸν τοῦ δεξιοῦ AGHF / οὖν om.IO / λουέσθω δὲ IO 19 αἴρω σου : ἔρωσον GHF / ἰσχιάδας O : ἰσχιατικῶν I / ποδαγροὺς GHFO : ποδαγρῶν I 20 τῶν om.AGHFO / ἀπόλυσον I.

Scholia marginalia.

2 εἰς ὁμόνοιαν ἀνδρογύνου O 3 εἰς τὸ ἀγαπᾶσθαι ὑπὸ γυναικὸς O 6 ὅμοιον εἰς τὸ μὴ κολληθῆναι ἑτέρου ἀνδρὸς O 7 εἰς τὸ ἰᾶσθαι δύσπνοιαν O 10 εἰς ὑδρωπικοὺς O 12 εἰς χιάδα καὶ ποδάγρα καὶ πᾶν ἄρθρον O.

## 23. Περὶ κίσσας.

Κίσσα, στρουθίον ἐστὶ φρόνιμον, μιμούμενον ἀνθρώπου φωνήν. τούτου ἡ καρδία φορουμένη μετὰ κισσοῦ ῥίζης τὰς σπωμένας γυναῖκας παύει. ὁμοίως δὲ θεραπεύει καὶ δυσουρίαν. ἔστι δὲ τὸ πτηνὸν πεποικιλμένον χροιαῖς, καὶ ἐνάρετον ποιεῖ τὸν ἐσθίοντα.

A G H F I O T

1 στρουθίου λεγομένου κίσσα, κεφάλαιον πγ´ O / κίσσης GHF / περὶ κίσσας om.I 2 ἀνθρώπων GHFIO / φωνὰς IO 3 δὲ ἡ GHF / ῥίζης κισσοῦ T / τὰς om.AGHFIO / καὶ σπῶσας (πῶσας GHF) AGHFO : κισσῶσας I 4 παύει : ὑγιαίνει T / δὲ om.O / πτηνὸν ὡραῖον καὶ T / χρώας GH : om.TO / καὶ - ἐσθίοντα om.IO / ἐσθίοντα αὐτοῦ T.

Scholia marginalia.

3 εἰς τὸ παῦσαι σπῶσας γυναῖκας O 4 εἰς δυσουρίαν O.

## 24. Περὶ κοσσύφου.

Κόσσυφός ἐστι στρουθίον ἡδύφωνον τῷ θέρει πολλὰ λαλοῦν, τὸ μὲν ὅλον πτερὸν κατακόρως μέλας ὑπάρχει, μόνον δὲ τὸ στόμα χρυσοειδές. Οὗτος ἐν ἐλαίῳ παλαιῷ καθεψηθεὶς ἕως τακῇ, καὶ τοῦ ἐλαίου ἀλειφομένου, ὀπισθότονον διαλύει. ὁμοίως δὲ καὶ ἰσχία θεραπεύει.

A G H F I O T

1 περὶ κοσσύφου om.I / στρουθίου λεγομένου κοσσύφου κεφάλαιον πδ´ O 2 λαλῶν IO / τῷ μὲν ὅλῳ πτερῷ AGHF 3 τὸν κατέκορον T / ὑπάρχων A / χρυσοειδῆ, ὅς ἐστι τοῦ Κρόνου T 4 κατεψηθεὶς GHF : κατεψηθῇ T / καὶ - 5 διαλύει om.GHF / διαλύειν T / δὲ om.IOT / καὶ τὰ GHT : κατὰ F / ἰσχρὰ T / ἰσχία ὁμοίως IO

Scholia marginalia.

4 εἰς ὀπισθότονον καὶ ἰσχία O 5 θεραπεύει ἰσχία A.



## 25. Περὶ λάρου.

Λάρος πετεινόν ἐστι θαλάσσιον, τὰ αὐτὰ δυνάμενον τῇ ἀλκυόνι. τούτου τὴν καρδίαν κρατῶν, εἴσελθε πρὸς δυστοκοῦσαν γυναῖκα, καὶ εὐθέως τέξεται. ἅμα δὲ τέξῃ, ἀναχώρει, μὴ καὶ ἄλλο τι ῥίψῃ. ἡ δὲ γαστὴρ ξηρὰ πινομένη καὶ φορουμένη πέψιν ποιεῖ ἄκρως.

A G H F I O T

1 στοιχεῖον λ´ περὶ AGHF / πετεινὸν λεγόμενον λάρος κεφάλαιον πε´ O / λαύρου F περὶ λάρου om.I / λείπει ἡ (τὸ S) λ´ WKS 2 μέν ἐστι AGHF / δύναται AO : γίνεται GHF / ἴσα τῇ (τῷ A) AGHFT 3 καρδίαν : ὑδρίαν GHF / εἰ κρατῶν T / πρὸς : εἰς IO / γυναῖκα om.IO / καὶ om.T 4 τέξεται : τεστεῖται T / ἅμα : ἐπὰν IO / ἅμα - τέξῃ om.T / μήπως καὶ τῶν ἐνσωθίων ἄλλο T / καὶ om.AGHF 5 γαστὴρ : γὰρ GHF / πινομένη : γινομένη GHF / καὶ φορουμένη om.T / ἄκρον πέψιν A : ρην πέμψιν GHF / θαυμαστὴν εἰς ἄκρος ποιεῖ T.

Scholia marginalia.

2 τὰς τούτου πράξεις ζήτει ἐν τῇ ἀλκυόνι, τὰ ἴσα γὰρ δύναται O 3 ὠκυτόκιον O
5 εἰς πέψιν O.

## 26. Περὶ λαμπυρίδος.

Λαμπυρὶς σκώληξ ἐστὶ πτερωτός, τῷ θέρει ἱπτάμενος· καὶ λάμπει ὥσπερ ἀστὴρ τὴν νύκτα. ἔχει δὲ ἐν τῷ σφυγκτῆρι τὴν λαμπάδα. ἐὰν οὖν αὐτὴν ἐνδύσῃ τις ἐν ἡμιόνου σκύτει καὶ περιάψῃ γυναικί, ἀσύλληπτόν ἐστιν ἀπαράβατον. εἰ δέ τις τὴν λαμπυρίδα βάλῃ εἰς ἔδαφος ὅπου εἰσὶν ψύλλοι, φεύξονται. (92)

A G H F I O T

1 περὶ ἰχθύου λεγομένου κυπρίνου κεφάλαιον ρλβ´ O / περὶ κυπρίνου om.IDNK 2 ἐστὶ om.AGHFIO / καὶ λιμναῖος om.IODNKL / λίμνιος GH : λίμνοις F / ἧπαρ : στέαρ καὶ AGHFIO 3 θυμιώμενον om.AGHFIO / ἐπιληψίας K : δαίμονας AGHFIO / ἀποσοβεῖ : ἰᾶται K : ὀνίνηται L : φυγαδεύει καπνιζόμενα AGHFIO / αὐτοῦ – ἐπιχριομένη om.AGHFIO 4 ἀμαύρωσιν ὀφθαλμῶν L / ὀφθαλμῶν om.DNL / καὶ ἀμβλυωπίαν – 5 ἐπιδερμίδας om.AGHFIO / ἐπιδερμίδας : ἐπιδρομὰς DNL / ἀπάσας καθαίρει L : ἰᾶται ἐγχριομένη AGHFIO 5-7 ἔστι – παραχρῆμα om.DNKL 6 ἐὰν δὲ A / τοῦ μορίου om.IO 7 παραχρῆμα om.GHF.

Scholia marginalia.

2 εἰς τὸ διῶξαι δαίμονας O 3 εἰς πᾶσαν ἀμαύρωσιν O 5 εἰς συνουσίαν καὶ εὔχροιαν καὶ σύλληψιν O.

38. Περὶ κίχλης.

Κίχλης ὁ ζωμὸς κοιλίαν μαλάσσει, καὶ εὐπεψίαν παρέχει, καὶ διεγείρει πρὸς συνουσίαν, καὶ γάλα φέρει ταῖς θηλαζούσαις.

A G H F I O

1 κίχλας GHF / κίχλας κεφάλαιον ρλη´ O / περὶ κίχλης om.I 2 κίχλας GHFIO.

Scholia marginalia.

2 εἰς τὸ μαλάξαι κοιλίαν, καὶ εὐπεψίαν, καὶ συνουσίαν, καὶ φέρειν γάλα O.



39. Περὶ λάβρακος.

Λάβραξ ἰχθύς ἐστι θαλάττιος. τούτου ἡ χολὴ σὺν μέλιτι ἐγχριομένη πᾶσαν ἀμαύρωσιν καὶ ἀμβλυωπίαν καὶ λευκώματα καθαίρει καὶ ὀξυωπίαν παρέχει. ἡ δὲ κοιλία αὐτοῦ μόνη ἐσθιομένη πέψιν ποιεῖ. ξηρὰ δὲ φορουμένη λαμπρῶς ἐσθίειν καὶ ἐνηδόνως παρασκευάζει. οἱ δὲ μάργαροι τῶν ὀφθαλμῶν αὐτοῦ φορούμενοι ὀφθαλμίαν παύουσι καὶ ἡμικρανίαν, δεξιὸν δεξιῷ καὶ λαιὸν λαιῷ περιαφθέντες. καὶ ὀδοντοφυοῦσι παιδίοις ἁρμόδιοι. τὸ δὲ ἐν τῇ κεφαλῇ αὐτοῦ ὀστοῦν ἐπιτεθὲν κεφαλῇ τινος τοῦ καταπεπωκότος ὀστοῦν ἰχθύος, τοῦτο ἐξάγει. Σκευάζεται δὲ ἐκ τῆς χολῆς καὶ κολλύριον οὕτως: χολὴ λάβρακος καὶ χολὴ γυπὸς ἀνὰ οὐγ. ϛ', λιβάνου ἀρσενικοῦ οὐγ, θ', σμύρνης οὐγ. β', λιθαργύρου οὐγ. α', βαλσάμου καὶ χυλοῦ ἀειθαλοῦς βοτάνης ἀνὰ οὐγ. η', μέλιτος ἀκάπνου οὐγ. γ'. τοῦτον παλαιούμενον κρεῖττον. χρήσιμον γάρ ἐστι πρὸς ἀμβλυωπίαν, καὶ ἀρχομένας ὑποχύσεις, καὶ ἀχλύν, καὶ νυκτάλωπας, καὶ τραχώματα, ὑδατίδας τε καὶ ψωροφθαλμίαν, καὶ βεβρωμένους κανθοὺς θεραπεύει.

D N K L

1 περὶ λάβρακος om.DNK 2 θαλάσσιος K 3 πᾶσαν – ἀμβλυωπίαν καὶ om.DNL 4-9 ἡ δὲ – ἐξάγει om.DNL 7 περιαφθέντες scripsi : περιαφθὲν K 10 ἐὰν δὲ σκευάσῃς ἐξ αὐτοῦ L / δὲ αὐτοῦ K : om.L / ἐκ – χολῆς om.DNL / καὶ om.L / δι' αὐτῆς οὕτως DN / οὕτως : ὅπερ δέχεται L / χολὴ – 11 ϛ´ om.KL / χολὴ om.D / ἀρρενικοῦ DN / οὐγ. : στίγας L / λιγούρου λίθου στίγας L 12 ὀποβαλσάμου K / βοτάνης ἀειθαλοῦς ἐξ ἴσου ἤγουν K 13 ἀνὰ om.L / στίγας η´χολῆς γυπὸς καὶ λάβρακος ἀνὰ στίγας ϛ´ KL / παλαιούμενον κρεῖττον om.DN 14 κρεῖττόν ἐστι L / χρήσιμον : θειοπάροχον KL / γὰρ om.DN / ἀμβλυωποῦντας L 15 νυκτάλωπας καὶ ἀχλὺν K / ὑδατικοὺς D 16 ψωροφθαλμίας L / βεβισμένους DN / ἰᾶται K / θεραπεύει. τοῦτο δὲ παλαιούμενον βέλτιον γίνεται DN.

40. Περί λαγωοῦ.

Λαγωὸς ὁ θαλάσσιος λειωθεὶς καὶ περιχρισθεὶς τὰς προεκτμηθείσας τῶν βλεφάρων τρίχας οὐκ ἐᾷ αὖθις ἀναβῆναι. τοῖς δὲ πεπωκόσιν αὐτὸν χηνὸς νεοσφαγοῦς αἷμα θερμὸν πότιζε. ἀντιφάρμακόν ἐστιν τῶν δηλητηρίων. (115)

A G H F I O K

1 στοιχεῖον λ΄ περὶ AGHF / λαγοῦ A / λαγωοῦ θαλασσίου κεφάλαιον ρλθ΄ O / περὶ λαγωοῦ om.IK 2 ὁ om.FIOK / λεῖος K / καὶ om.K / προεκταλείσας IO : ἐκπροταλείσας GHF : ἐκπροτιλείσας A 3 τῶν βλεφάρων om.K / ἀναφυῆναι K / πεπτωκόσιν A / τοῖς – 4 δηλητηρίων om.K / ἀντιφάρμακον – δηλητηρίων om.IO.

Scholia marginalia.

2 εἰς τὸ μὴ ἀναβῆναι τὰς προεκταλείσας τῶν βλεφάρων τρίχας O 3 ἀντιφάρμακον τοῖς πίνουσιν λαγωὸν θαλάσσιον O.

2 Diosk. II 18.



41. Περὶ μαινίδος.

Μαινίδες ἰχθύδιά εἰσι θαλάττια. τούτων αἱ κεφαλαὶ καυθεῖσαι καὶ τεφρωθεῖσαι καὶ σὺν στέατι ἀρκείῳ καταχριόμεναι ἀλωπεκίας ἰῶνται. μόναι δὲ τοὺς κυνοδήκτους καὶ τοὺς σκορπιοπλήκτους ὠφελοῦσιν. ἵστησι δὲ καὶ νομάς. ὅλη δὲ ἡ μαινὶς καυθεῖσα καὶ ἐπιχρισθεῖσα μυρμηκίας καὶ ἀκροχορδόνας καὶ ἥλους αἴρει. ὁ δὲ ζωμὸς αὐτῶν καὶ αἱ σάρκες ἐσθιόμεναι εὐστομαχίαν παρέχουσι, καὶ κωλικοὺς καὶ στροφουμένους ἰῶνται.

Μαινίδος κεφαλὴ καεῖσα τὰς ἐν δακτυλίῳ τετυπωμένας ῥαγάδας ἀποκαθίστησι καταπλασθεῖσα. τὸ δὲ γάρος αὐτῆς, τὰς ἐν τῷ στόματι σηπεδόνας διακλυζόμενον θεραπεύει παραδόξως.

I O D N K L

1 περὶ ἰχθύου λεγομένης μαινίδα κεφάλαιον ρμ΄ O : λείπει GHF / μαινίδος scripsi : σμαρίδος L / περὶ μαινίδος om.IODNK 2-8 μαινίδες – ἰῶνται om.IO 2 σμαρίδες L / ἰχθύες ἐστὶ L : om.DN / θαλάττιοι L : θαλάττιαί εἰσι DN / καυθεῖσαι καὶ om.K 3 ἐκτεφρωθεῖσαι K / πρὸς ἀλωπεκίαν ποιοῦσι μετὰ στέατος ἀρκείου L χριόμεναι DN / ἀλωπεκίαν ἰῶσι K : om.L 4 μονομερῶς DNL / δὲ αὗται K / τοῖς κυνοδήκτοις (κυνοδήκταις L) KL / ὠφελοῦσι (ὠφελεῖ DN) καὶ DNL / τοῖς σκορπιοπλήκτοις KL 5 ἵστωσι K / σμαρὶς KL / καεῖσα K / ἀκροχονδόνας L 8 στρουμένους ἰᾶται L 9-11 μαινίδος – παραδόξως om.DNKL.

Scholia marginalia.

9 εἰς τὰς ἐν δακτυλίῳ ῥαγάδας O. 10 εἰς τὰς ἐν στόματι σηπεδόνας O.

9-11 Diosk. II 29.

## 42. <Περὶ μελανούρου>.

Μελάνουρος ἰχθύς. ἐσθιόμενος ὀπτὸς ὀξυδορκίαν παρέχει. ὁ δὲ ζωμὸς αὐτοῦ πινόμενος κωλικοὺς στροφουμένους ἰᾶται.

Z

## 43. <Περὶ μυακίων>.

Μυάκια ὀστρακώδη εἰσι. τούτων τὸ ἀπόζεμα ποθὲν γαστέρα μαλάσσει. τὰ δὲ ὄστρακα αὐτῶν καυθέντα καὶ λειωθέντα καὶ ὡς ξηρίον ἐπιπασσόμενα νομὰς καὶ σηπεδόνας στέλλουσι καὶ ἕλκη παλαιὰ θεραπεύουσι.σὺν μέλιτι δὲ καταχριόμενα παχέα βλέφαρα στέλλουσι, καὶ λευκώματα καθαίρουσι. δεῖ δὲ πλύνειν τὴν τέφρα ὕδατι γλυκεῖ καθάπερ καὶ τὸ ψιμίθιον.

D N K L

2 μύκια K / εἰσὶν ὀστρακώδη L / εἰσὶ ζῷα θαλάττια K 3 καέντα K / ἐπιπασσόμενον DN 4 συστέλλουσι DN 5 καταστέλλει DN : στέλλει L 6 καθαίρει DNL / τὴν τέφρα om.KL / τῷ τε ὕδατι L / γλυκεῖ : λιμναίῳ K / καὶ om.L / καθάπερ - ψιμίθιον om.DN.

Scholia marginalia.

2 τὰ κοινῶς μύδια K.

5 Diosk. II 5.5.



## 44. Περὶ νάρκης.

Νάρκη ἰχθύς ἐστι θαλάσσιος, ὃν οἱ πολλοί φασι μάργαν. αὕτη τοῖς κεφαλαλγοῦσιν ἔτι ζῶσα προστεθεῖσα ἐπὶ χρονίων νοσημάτων τῶν περὶ κεφαλῆς πραΰνει τὸ σφοδρὸν τοῦ ἀλγήματος. ἐν ἐλαίῳ δὲ ζῶσα ἑψηθεῖσα ἕως οὗ τακῇ, καὶ διηθηθεῖσα τὰ τῶν ἀρθριτικῶν ἀλγήματα παραμυθεῖται χριομένη. καυθεῖσα δὲ καὶ τεφρωθεῖσα καὶ ὡς ξηρίον ἐπιπασθεῖσα τὰς ἐξερχομένας ἕδρας ὑγιεῖς ἀπεργάζεται. τὸ δὲ στέαρ αὐτῆς ἐάν τις ἐν ἐρίῳ ἐπιχρίσας ἐπιθῇ κατὰ τῆς ἕδρας, τὰς τῆς ὑστέρας ἀναδρομὰς στέλλει. ἐὰν δὲ καὶ γυνὴ ἐπιχρίσῃ τὸ μόριον αὐτῆς ἐκ τοῦ στέατος, οὐ συγγενήσεται ἀνὴρ μετ' αὐτῆς οὐδὲ συνουσιάσει ὅλως.

A G H F I O D N K L Z

1 στοιχεῖον ν΄ περὶ AGHF / περὶ ἰχθύου λεγομένου νάρκα κεφάλαιον ρμα΄ O / νάρκης scripsi : νάρκας AGHF / περὶ νάρκης om.IDNKL 2 θαλάττιος KL / νάρκη - μάργαν om.AGHFIOZ / ὃν - μάργαν om.KL / αὕτη : νάρκη (νάρκα AGHFO) θαλασσία (θαλάσσιος Z) AGHFIOZ / τοῖς - 3 ζῶσα om.AGHFIOZ / προστιθεμένη DNKL / ἐπὶ - τῶν om. DNL / περὶ : κατὰ τῆς DNL / προστεθεῖσα - 4 ἀλγήματος om.Z / ἐπὶ - κεφαλῆς om.K κεφαλὴν GHFIO / πραΰνει - ἀλγήματος : ἀνωδυνίαν παρέχει (ἐργάζεται KL) DNKL 4-6 ἐν - χριομένη om.AGHFIOZ 4 ζῶσα - 5 οὗ om.K / τακεῖσα K / καὶ διηθηθεῖσα om.K διηθηθεῖσα scripsi : διηθεῖσα DNL / τὸ ἔλαιον τὰ ἀρθριτικὰ L / τοῦτο κατάχριε ἀρθριτικοὺς K / τὰ τῶν om.K / τῶν om.L / ἀλγήματα om.K / καὶ παραμυθήσεις K 6 χριόμενον L : om.K / ἐάν τις καύσῃ αὐτὴν Z / δὲ - τεφρωθεῖσα om.Z / καυθεῖσα - 7 ἀπεργάζεται om.K : καὶ ἕδραν δὲ ἐστρεφομένην (στρεφομένην καὶ IO) προσπίπτουσαν στέλλει (θέλγει GHF) προστεθεῖσα παραδόξως AGHFIO / πάσῃ Z / ἕδρας τῶν παιδίων ἵστησι Z / ὑγιεῖς ἀπεργάζεται om.Z / ἐργάζεται L 7-11 τὸ δὲ - ὅλως om.A GHFIOZ 8 ἐν om.K / ἐπιχρίσῃ καὶ ἐπιθήσῃ L : ἐπιθήσῃ καὶ προσθῇ K / ἐμπεσούσας ἀναδρομὰς τῆς ὑστέρας KL 9 συστέλλει DN / εἰ KL / δέ τις K / καὶ om.K / γυνὴ ἀπὸ τούτου DN / αἰδοῖον DNL / αὐτῆς - 10 στέατος om.DN / συγγίνεται αὐτῇ ἀνὴρ οὐδεὶς K / μετ' αὐτῆς om.K / οὐδὲ : ἢ L / οὐδὲ - 11 ὅλως om.DN / ὅλως om.L.

Scholia marginalia.

3 εἰς τὴν περὶ κεφαλῇ χρονίων ἀλγημάτων καὶ ἕδραν στρεφομένην καὶ προσπίπτουσαν O.

3 Diosk. II 15.

45. <Περὶ ξιφίου>.

Ξιφίας ἰχθύς ἐστι θαλάσσιος, ὅμοις τῇ <ἰ>ουλίδι, μικρότερος δὲ καὶ λεπτομερέστερος. τούτου τὸ ἀποτηγανιζόμενον ἔλαιον σὺν χυλῷ σεύτλου καὶ μολυβδίνῳ καταχριόμενον, κεφαλῆς ἰχῶρας καὶ πίτυρα ἀποκαθαίρει. καὶ ἡ χολὴ αὐτοῦ πρὸς ἀμβλυωπίαν μίγνυται.

D N K L

2 ξίφεος L / τῇ om.DN 3 δὲ : τε L / ἀποτηγάνισμα KL / ἔλαιον om.KL / σὺν om. L 4 χυλοῦ σεῦτλον L / τεύτλου K / μολυβδαίνης KL 5 χολὴ δὲ DN / τοῖς πρὸς DN / εὐιωπίαν D : εὐωπίαν N : βαρυωπίαν L / σκευαζομένοις μιγνυμένη συντελεῖ DN.

2 Kyr. IV 26.

46. Περὶ ξύθου.

Ξύθος ἐστὶν ἰχθύς, ἣν ἔνιοι ζμαρίδα καλοῦσι. ταύτης ταριχηρᾶς ἡ κεφαλὴ καεῖσα, ἕλκη στέλλει ὑπερσαρκοῦντα, καὶ νομὰς ἵστησι, καὶ ἥλους καὶ θύμους ἀναλίσκει. σκορπιοπλήκτοις δὲ καὶ κυνοπλήκτοις ὠμὴ ἁρμόζει, καθάπερ καὶ εἰς πάντα ταριχευομένη.

A G H F I O

1 στοιχεῖον ξ´ AGHF / περὶ ἰχθύου λεγομένου ξύθου κεφάλαιον ρμβ´ O / περὶ ξύθου om.I 2 ταριχευτῆς IO : ταριχείσης A 4 καὶ ἥλους – ἀναλίσκει om.GHF / σκορπιοδήκτοις I / δὲ : τε IO / κυνοδήκτοις IOGHF 5 ταριχευόμενος A : ταριχῶς IO.

Scholia marginalia.

3 εἰς ἕλκη καὶ νομὰς καὶ ἥλους καὶ θυμοὺς O 4 εἰς σκορπιοπλήκτους καὶ κυνοδήκτους O.

2-6 Diosk. II 28.



47. <Περὶ ὄνων>.

Ὄνοι οἱ ὑπὸ τὰς ὑδρίας συναγόμενοι ζωΰφιά εἰσι πολύποδα διαφορητικῆς καὶ ξηραντικῆς ὄντα δυνάμεως. ταῦτα λειούμενα καὶ σὺν οἴνῳ πινόμενα δυσουρίαν τε καὶ ἴκτερον ἰῶνται. καὶ ἐπὶ συναγχικῶν διαχρίονται μετὰ μέλιτος καὶ ὠφελοῦσι. πρὸς ὠταλγίαν δὲ σὺν ῥοδίνῳ θερμανθέντα ἔνσταζε.

D N K L

2 ταῖς ὑδρίαις K / φερόμενοι K : φυόμενοι L / ἅπερ διαφορητικῆς K 3 τε καὶ L εἰσὶ K : om.L / ταῦτα om.KL / λειούμενα om.KL 4 ποθέντα καὶ K / ποθέντα γοῦν σὺν L / καὶ om.L / δυσουρίαν : δυσεντερίαν K / τε om.K / καὶ om.L / καὶ ἐπὶ om.K / (συναγχικοῖς K) δὲ KL 5 μέλιτος διαχρίονται (διαχρίεται L) KL / καὶ – πρὸς om.K / ὠφελοῦσι om.L / ὠταλγίαις K / δὲ λείου L / μετὰ ῥοδίνου KL 6 διαθερμανθέντα D : θερμοῦ K / χρίσας ἔνσταζε K.

Scholia marginalia.

2 αἱ λεγόμεναι κουβαρίδες K.

1-6 Diosk. II 35.

48. Περὶ ὄνου θαλασσίου.

Ὄνος θαλάσσιος, ὃν τινὲς πολύπουν, οἱ δὲ ὀκτάπουν λέγουσιν. τοῦτον βαλὼν ἐν καινῇ χύτρᾳ ἔτι ζῶντα ἔκζεσον καὶ τὸν ἀπ' αὐτοῦ ἰχῶρα δίδου πιεῖν νεφριτικοῖς, λιθουρικοῖς, μετ' οἴνου παλαιοῦ ἐν λουτρῷ, καὶ ἰαθήσονται, καὶ τὸν λίθον ἐξουρήσουσι ψάμμου δίκην λεπτότατον. (117)

A G H F I O

1 στοιχεῖον ο´ AGHF / περὶ ἰχθύου λεγομένου ὄνου κεφάλαιον ρμγ´ O / θαλασσίου om.O / περὶ – θαλασσίου om.I 2 ὄνον θαλάσσιον A 3 τὸν : τὸ GHF 4 ἰχῶρα δίδου : ἐκ Κυρανίδου GHF / νεφρικοῖς GHFIO 5 λοετρῷ AGHF / καὶ om.O / ἐξωρήσουσι O.

Scholia marginalia.

2 περὶ πολύποδος I / εἰς νεφριτικοὺς καὶ λιθουργικοὺς O.

49. <Περὶ ὀρφῶ>.

Ὀρφὼς ἰχθύς ἐστι θαλάσσιος, πᾶσι γνωστός. τούτου τὸ αἷμα χριόμενον ἀλφοὺς θεραπεύει. ἡ δὲ χολὴ αὐτοῦ χριομένη λευκώματα ἰᾶται. ἐσθιόμενος δὲ ὁ ἰχθὺς εὐπεψίαν καὶ εὐστομαχίαν παρέχει, καὶ νεφρικοὺς καὶ δυσουρίαν ἰᾶται. οἱ δὲ ἐν τῇ κεφαλῇ αὐτοῦ λίθοι περιαπτόμενοι πᾶσαν κεφαλαλγίαν ἰῶνται. ὁμοίως καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ κρατούμενοι καὶ φορούμενοι πᾶσαν ὀφθαλμίαν καὶ παρέγχυσιν ἰῶνται ἄκρως.

D N K L

2 ὀρφνὸς L / θαλάσσιος om.KL / ἅπασι L / πᾶσι γνωστὸς om.DN 4 ἐσθιόμενος : χριόμενος L / καὶ om.KL / τε καὶ K 5 δυσουριῶντας K / οἱ : ὁ DN / λίθος περιαπτόμενος DN 6 ἰᾶται DN / ὁμοίως καὶ om.K / οἱ δὲ K / αὐτοῦ κρατούμενοι καὶ om.DNL 7 πᾶσαν om.DNL / ὀφθαλμίας DN / καὶ om.DN / ἄκρως ἰῶνται K.

50. <Περὶ πηλαμύδος>.

Πηλαμὺς ἰχθύς ἐστι θαλάσσιος, ἥτις καυθεῖσα σὺν τῇ κεφαλῇ καὶ λειωθεῖσα καὶ ἐπιτεθεῖσα, νομὰς ἵστησι καὶ σηπεδόνας ἰᾶται καὶ ἐξωχάδας στέλλει. τὸ δὲ ἐξ αὐτῆς γινόμενον γάρος ὠταλγίαν ἰᾶται.

D N K L

2 θαλάττιος DN / αὐτῆς ταριχηρὰ ἡ κεφαλὴ καεῖσα K / σὺν – κεφαλῇ om.K 3 καὶ ἐπιτεθεῖσα om.L / ἐπιπασθεῖσα K 4 καὶ ἐξωχάδας στέλλει om.DNL / γάρον N.



51. <Περὶ πνεύμονος>.

Πνεύμων θαλάσσιος ζῷόν ἐστιν ἄμορφον τρεμούσῃ ἐοικὼς ἁπλούμενον καὶ συστελλόμενον. τοῦτο λειώσας καὶ ἐπιθέμενος τοῖς ποδαγρικοῖς τὸν πόνον παύει. ἀλείψας δὲ αὐτὸν ἐν ῥάκει καθαρῷ καὶ ψύξας ἐν ἡλίῳ θεάσει αὐτὸν κατὰ τὴν νύκτα φαίνοντα, ὥσπερ λαμπάδα.

D N K L

2 θαλάσσιον DN / τρεμούσῃ ἐοικὼς om.DNL 3 τοῦτον DNL / ἐπιτεθεὶς DN : om.L / τοῖς om.K 4 ποδαλγικοῖς D : ποδαγροῖς K / ποδαγρικοῖς ἐπιθεὶς L / παύεις L / ἀλείψας : ἁπλώσας K 5 θεάσει – κατὰ om.KL / φαίνει τὴν KL / ὡς σφέτλιον (φατλὶν L)(ϐέλινον K) KL / λαμπάδα om.KL.

4 Diosk. II 37.

52. Περὶ πολύποδος.

Πολύπους ζῷόν ἐστι, τὸ λεγόμενον ὀκταπόδιον. οὗτος ζωμευθεὶς καὶ βρωθεὶς νεφρικοὺς καὶ δυσουριῶντας ἰᾶται. τὸ δὲ ἐξ αὐτοῦ μέλαν γράφεται ἐν χάρτῃ.

D N W K S L

1 πολύποδος scripsi : πολύπους π΄ WS / περὶ πολύποδος om.DNKL 2 ζῷον om.WS / ζῷον – λεγόμενον om.DN / ζῷον – ὀκταπόδιον om.L / ἤτοι ὀκτάπους DN / ὀκταπόδιν K / ζωμιστὸς ἐσθιόμενος DN 3 δυσουρίαν WSL / μελάνι WS : μελάνιον L 4 εἰς χρείαν ἐστὶ τοῦ γράφειν DN / γράφει ἐν χαρτίῳ L / ἐν χάρτῃ om.DN.

## 53. Περὶ πορφυρίδος.

Πορφύρα θαλασσία ἡ καὶ κογχύλη λεγομένη, κηρύκιόν ἐστι μικρόν, ὥσπερ ὀνύχιον. αὕτη ὑποθυμιωμένη ἀναδρομὰς ὑστέρας παύει καὶ πνιγμοὺς ἀποσοβεῖ. ὁ δὲ ζωμὸς πινόμενος γαστέρα μαλάσσει καὶ κοιλίαν προτρέπει. σάρκα δὲ ὠμὴν τῆς πορφύρας ἐὰν λειώσας μετὰ σμύρνης καταθῇς εἰς ὀδυνώμενον τόπον, ἡμικράνου πόνον θεραπεύσεις ἄκρως. περιαπτομένη δὲ καὶ συνδεομένη πᾶσαν κεφαλαλγίαν ἰᾶται.

D N W K S L

1 περὶ πορφυρίδος om.DNKL 2 πορφυρία WS / ζῷόν ἐστι θαλάσσιον WKS / ἡ καὶ om. WKS / καὶ κογχύλη om.L / ἐπονομαζομένη WKS / λεγομένη κόγχυλος L / κηρικίου DN δέ ἐστι K / σμικροτέρα DN 3 ὥσπερ ὀνύχιον om.DN / τοῦτο WKS : ὅπερ L / θυμιώμενον WKS / ὑστέρων WKSL / παύει om.WKSL / πνιγμονὰς WS : πνιγὰς K 4 ἀφελεῖ W KSL / δὲ τούτου WKS / γαστέρα : κοιλίαν K / κοιλίαν om.K 5 κινεῖ. ἡ δὲ σὰρξ αὐτῆς ὠμὴ K / τῆς - ἐὰν om.K / πορφυρίας WS / λειώσῃς WS : λειωθεῖσα K 6 καὶ καταθήσῃς (ἐπιθήσῃς WS) WSL / εἰς - τόπον om.DNKL / εἰς ἡμικρανίαν ποιεῖ K / ἡμικρανίαν DWS / πόνον om.DWKS / πόνον οἷον μέρος πονεῖ L / ἄκρως om.DN / παύσει, ἢ καὶ κατ' ἄλλο μέρος, ἧπερ ἡ ἀλγηδὼν εἴη DN 7 περιαπτόμενον WS / δὲ τὸ ζῷον (ἡ πορφύρα K) WKS / περιαπτομένη - πᾶσαν om.L / καὶ - πᾶσαν om.WKS / ὁμοίως καὶ κεφαλαλγίαν ἰᾶται περιαπτόμενον καὶ συνδεννύμενον L.

## 54. Περὶ πελωρίδων.

Πελωρίδες εἰσὶ θαλάσσια ἰχθύδια. τούτων καὶ παγούρων ὁ ζωμὸς κοιλίαν μαλάσσει μετ' οἴνου πινόμενος.

A G H F I O

1 στοιχεῖον π' AGHF / περὶ ἰχθύων λεγομένων πελωρίδια κεφάλαιον ρμδ' O / περὶ πελωρίδων om.I 3 πινόμενος om.IO.

Scholia marginalia.

3 εἰς τὸ μαλάξαι κοιλίαν O.



## 55. Περὶ ῥαφίδος.

Ῥαφὶς ἰχθύς ἐστι θαλάττιος ἡ καλουμένη βελονίς, (118) ἣν καὶ ζαργάνην οἱ πολλοὶ ὀνομάζουσιν, ἔχουσα στόμα μακρὸν παρεοικὼς σφυραίνῃ. ταύτης τὸ στόμα φορούμενον ἢ θυμιώμενον δαίμονας διώκει. τοῦτο καὲν καὶ λειοτριβηθὲν μετὰ ἰρίνου μύρου ἀλωπεκίας τριχοφυεῖν ἀναγκάζει, ὡς μέγα δῶρον καὶ ἴαμα.

A G H F I O D N W K S L Z

1 στοιχεῖον ρ' AGHF / περὶ ἰχθύου ἡ λεγομένη ῥαφὶς κεφάλαιον ρμε' O / ῥαφίδος ρ' WS / περὶ ῥαφίδος om.IDNKLZ 2 ἐστὶν ἰχθὺς AGHFIO / ἰχθὺς om.L / ἰχθὺς - καλουμένη om.Z / ἡ καὶ βελονὶς καλουμένη ἰχθύς ἐστι θαλάσσιος DN / θαλάττιος om. AGHFIO / λεγομένη K / οἱ δὲ βελονίδα, ἰχθύς ἐστι Z / βελονὶς ἰχθὺς θαλάττιος L 2-4 ἣν - διώκει om.AGHFIO 2 ἣν - 3 ὀνομάζουσιν om.DNWSL / ὑπάρχει δὲ θαλάσσιος ἔχουσα WS / μικρὸν στόμα ἔχων DN / ἔχει τὸ L : ἔχων Z / ἐοικὼς DNZ / ἔχουσα - σφυραίνῃ om.K / σφυραίνῃ : σφαιρίνῳ WS : σφαιρίῳ L : σφαίριον DN 4 τούτου WS / φορούμενον : περιαπτόμενον K / ἢ : καὶ WKSZ : om.L / θυμιούμενον Z / ἀποδιώκει L : ἀπολαύνει WS : ἀπελαύνει KZ 5 λειοτριβεῖσαν GHF / ἰνίνου G HF / τοῦτο - 6 ἴαμα om.DNWKSLZ / ἀναγκάζειν F / ὡς - ἴαμα om.IO.

## 56. Περὶ ῥίνης.

Ῥίνα ἰχθύς ἐστι θαλάσσιος. ταύτης τὸ δέρμα καυθὲν καὶ λειωθὲν καὶ ἐπιχρισθὲν φύματα ἰᾶται καὶ τὰς ἐκ ῥινῶν αἱμορραγίας ἵστησι.

D N W K S L

1 ῥίνης scripsi : ῥινὸς WS / περὶ ῥίνας om.DNKL 2 ῥίνη DN / ἐστὶ ἰχθὺς DN / θαλάττιος WS / καὲν KL 3 τὰς : τὴν DN / αἱμορραγίαν DN.

## 57. Περὶ σκορπίου.

Σκορπίος ἰχθύς ἐστι θαλάσσιος, πᾶσι γνωστός. τοῦτον πνίξας ἐν οἴνῳ δὸς σπληνικῷ πιεῖν, καὶ ἰαθήσεται. ἐὰν δὲ γυναικὶ δώσῃς πιεῖν, αἱμορραγήσει παραχρῆμα. στῆσαι δὲ θέλων τὴν αἱμορραγίαν, τὸν σκορπίον ἑψήσας δὸς φαγεῖν, καὶ ἰαθήσεται.

Σκορπίου πληγὴν ἰᾶται τρίγλα ἀνασχισθεῖσα καὶ ἐπιτεθεῖσα, ἢ οὔρῳ ἀνθρωπίνῳ ἐπαντλήσας καὶ μολύβδῳ ἐπιθήσας.

D N W K S L Z

1 περὶ σκορπίου σʹ WS : om.DNKL 2 σκορπίον Z / ἐστὶν ἰχθὺς L : om.Z / θαλάσσιον Z / πᾶσι γνωστὸς om.WKSLZ / τοῦτον om.Z / ἀποπνίξας DN 3 δίδου τὸν οἶνον K / δὸς πιεῖν (τὸν οἶνον Z) WSLZ / σπληνικῶν K / ἰᾶται DNL : ἄκρως ἰῶνται Z / εἰ K : om.DN / δὲ : καὶ DN / γυναῖκα Z / γυναικὶ δὲ αἱμορραγούσῃ ἐὰν δῷς DN / δῷς WS : δώῃς L / τοῦτον πιεῖν K 4 αἱμορραγήσει om.DN / παραχρῆμα ἰάσει DN / εἰ δὲ θέλῃς στῆσαι L / τὸν om.WKS / στῆσαι – 5 ἰαθήσεται : καὶ ὀπτὸν δὲ τὸν σκορπίον εἰ δώσῃς φαγεῖν, στήσεις τὴν αἱμορραγίαν DN / ὀπτήσας LZ / δὸς αὐτῇ K / στήσεται LZ 6–7 σκορπίου – ἐπιθήσας in mg.K : om.DNWSLZ.

## 58. Περὶ σάλπης.

Σάλπη ἰχθύς ἐστι θαλάσσιος ἐδώδιμος. τούτου οἱ ἐν τῇ κεφαλῇ λίθοι περιαπτόμενοι ἔντασιν μεγίστην ποιοῦσιν, ὁ μὲν δεξιὸς περὶ τὸν δεξιὸν ὄρχιν, ὁ δὲ εὐώνυμος περὶ τὸν εὐώνυμον. τὸ δὲ στέαρ αὐτοῦ λειούμενον σὺν μέλιτι καὶ χριόμενον περὶ τὸ αἰδοῖον, ἡδονικόν ἐστι κάλλιστον ἐν συνουσίαις πάνυ.

A G H F I O D N L

1 στοιχεῖον σʹ AGHF / περὶ ἰχθύου λεγομένου σάλπης κεφάλαιον ρμςʹ O / περὶ σάλπης om.IDNL 2 σάλπη scripsi : σάλπης AGHFL : σάλπιγξ DN / ἰχθὺς – τούτου om.AGHFIO / ἐστὶ ἰχθὺς L / ἐν – κεφαλῇ om.L 3 λίθοι τοῦ κρανίου L / περιαπτόμενοι : φορούμενοι ὁ μὲν δεξιὸς AGHFIO / μεγίστην om.DNL / ποιεῖ AGHF IO / ὁ μὲν om.L / περὶ om.L / ὁ μὲν – 4 ὄρχιν om.AGHFIO / τῷ δεξιῷ L / ὄρχιν om.L / ὁ δὲ om.L / περὶ om.AGHFIOL / τῷ εὐωνύμῳ L : τὸ ἐναντίον AGHF : τῷ ἐναντίῳ O : τοὐναντίον I 5 αὐτοῦ om.AGHIO / λειούμενον – καὶ om.AGHFIO / περὶ om.AGHFIODL / τῷ αἰδοίῳ L : om.AGHFIOD 6 ἡδονὰς μεγίστας παρέχει (ποιεῖ L) DNL / ἐστὶ – πάνυ om.DNL / ἐν συνουσίαις om.IO.

Scholia marginalia.

2 εἰς ἔντασιν O 3 εἰς τὸ εἶναι ἀνέτατον ἡδονικὸν O. 2 Kyr. I 18,63.



## 59. Περὶ συναγρίδος.

Συναγρὶς ἰχθύς ἐστι θαλάσσιος, πᾶσι γνωστός. τούτου οἱ ὀδόντες παισὶν ὀδοντοφυοῦσι περιαπτόμενοι ἀνοδύνως φύονται καὶ πᾶσαν ὀδονταλγίαν περιαπτόμενοι ἰῶνται. ἡ δὲ χολὴ αὐτοῦ μετὰ ἀμυγδαλίνου ἐλαίου ἢ καρυίνου ἐπιχριομένη ταῖς γνάθοις ὀδόντων πόνους ἰᾶται. (119)

D N W K S L

1 συναγρίδος scripsi : συνάγνου WS / περὶ συναγρίδος om.DNKL 2 σύναγρος L : σύναγνος WKS / θαλάττιος WS : om.DNL / πᾶσι γνωστὸς om.WKSL 3 παισὶν ὀδοντοφυοῦσι om.DNL / ἀνοδύνως – καὶ om.DN / φύονται οἱ τῶν παίδων ὀδόντες L 4 ὀδονταλγίαν : ὠταλγίαν L / περιαπτόμενοι om.DNL / χολὴ δὲ WKS / αὐτοῦ om.WKS / ἀμυγδαλελαίου WS 5 καρυίνου : κορίνη DN / χρισθεῖσα L / ταῖς γνάθοις om.L / ἐλαίου – ὀδόντων om.WKS / πόνον L : ὠταλγίαν WKS / θεραπεύει WKS.

## 60. <Περὶ σηπίας>.

Σηπίας ὄστρακον τραχεῖα βλέφαρα σμήχει, καὶ τρίχας λεπτύνει τὰς τοῦ σώματος, ὡς καὶ ἡ κίσηρις. λάμβανε δὲ αὐτὸ εἰς τοὺς αἰγιαλούς· καὶ λευκώματα καθαίρει συχνῶς ὡς ξηρίον ἐπιπασσόμενον.

Z

3 λάμβανε scripsi : λαμβάνει Z.

2 Diosk. II 21. 13.

61. Περὶ σαργοῦ <καὶ στελλίνων>.

Σαργὸς ἰχθύς ἐστι θαλάσσιος πᾶσι γνωστός. τούτου οἱ ὀδόντες φορούμενοι πᾶσαν ὀδονταλγίαν ἀποστρέφουσιν. ἡ δὲ χολὴ αὐτοῦ χριομένη τοῖς μαστοῖς τῶν γυναικῶν γάλα πολὺ φέρει. ὁμοίως καὶ αἱ στελλῖνες ἐσθιόμεναι γάλα γυναιξὶ φέρουσι. καὶ ὁ ζωμὸς τῶν στελλίνων πινόμενος τὸ αὐτὸ ποιεῖ. σαπεῖσαι δὲ αἱ στελλῖνες καὶ μετὰ κεδρίας ἐπιχρισθεῖσαι τὰς προεκσπασθείσας τρίχας, οὐκ ἐῶσι ταύτας αὖθις ἀναφυῆναι.

D N W K S L

1 περὶ σαργοῦ om.DNKL / καὶ στελλίνων = τελλίνων e.g. addidi 2 σαβρὸς L : ταυρὸς DN / σαργοῦ τοῦ ἰχθύος K / ἐστὶν ἰχθὺς L / θαλάττιος N / ἰχθὺς - τούτου om.WKS / πᾶσι γνωστὸς om.L / οἱ - 3 ἀποστρέφουσιν om.DNL / φορούμενοι : περιαπτόμενοι K / δὲ om.DNL / αὐτοῦ om.DNL 4 τοῖς - τῶν om.WKS / μασθοῖς L γυναικῶν μασθοῖς WKS / ποιεῖ φέρειν K : ἐπάγει DN / ὁμοίως : τὸ αὐτὸ ποιοῦσι K 5 ἐσθιόμεναι ζωμισταὶ καὶ καθ' αὐτὰς K / γάλα πολὺ L / ζωμὸς δὲ L / σελίνων D / γάλα - 6 ποιεῖ om.K / μετὰ κεδραίας (κεδρίας L) δὲ σαπεῖσαι DNL δὲ om.DNL / αἱ στελλῖνες om.D / στελλῖναι WS / σὺν κεδρίᾳ K : om.DNL 7 τὰς om.WS / τὰς - τρίχας om.DNL / προεκτμηθείσας τρίχας ἤτοι ἐκσπασθείσας K / ταύτας αὖθις om.DNL 8 φυῆναι τρίχας DNL.

5 Diosk. II 6.



62. Περὶ τρίγλας.

Τρίγλα ἰχθύς ἐστι θαλάσσιος. ταύτης τὸ ἧπαρ λεῖον καταπλασσόμενον εἰς δήγματα τρυγόνων θαλασσίων καὶ δρακόντων καὶ σκορπίων καὶ σμυραίνης πληγὰς ἄκρως ἰᾶται. ἡ δὲ τέφρα αὐτῆς σὺν μέλιτι ἐπιτεθεῖσα ἀκάνθας καὶ σκόλοπας αἴρει. πνιγεῖσα δὲ ἐν οἴνῳ, τοῦ οἴνου πινομένου δυστοκούσας βοηθεῖ. ὁ δὲ ζωμὸς αὐτῆς πινόμενος, ὁμοίως καὶ αὐτὴ ἐσθιομένη τοῖς δηλητήριον πεπωκόσι βοηθεῖ.

Τρίγλας δὲ εἴ τις τὸ γένειον κείρῃ ἔτι ζώσης αὐτῆς, αὐτὴν δὲ ζῶσαν ἀπολύσῃ ἐν τῇ θαλάσσῃ ἀπελθεῖν καὶ δώσῃ ἐν ποτῷ γυναικί, ἐρωτικὴν ἐπάγει μεγίστην συμπάθειαν καὶ φιλίαν. φορούμενον δὲ ἐπιτυχίαν παρέχει πρὸς πᾶν πρᾶγμα. εἰ δέ τις τοὺς ὀφθαλμοὺς αὐτῆς λειώσας χρίσῃ τινὸς ὀφθαλμούς, ἀμβλυωπήσει παραχρῆμα. λύσις δὲ τούτου: ἡ χολὴ τοῦ ἰχθύος σὺν μέλιτι χριομένη ὀξυωπίαν παρέχει.

A G H F I O D N W K S L

1 στοιχεῖον τ´ AGHF / περὶ ἰχθύου λεγομένου τρίγλα κεφάλαιον ρμζ´ O / τρίγλας τ´ WS / περὶ τρίγλας om.IDNKL 2-7 τρίγλα - βοηθεῖ om.AGHFIO 2-4 ταύτης - ἰᾶται om.WKS 2 θαλάττιος DNWKS / ἐπιπλασσόμενον L 3 θαλαττίων L 4 σμυρνίδος πληγῆς L / ἰῶνται L / ἡ δὲ - αὐτῆς : αὐτη καυθεῖσα (καεῖσα K) WKS / καὶ σὺν K 5 καὶ ἐπιτεθεῖσα WS / ἀκάνθαν ἐκρύσει L / ἀκάνθας - αἴρει : ἄνθρακας ἐκριζοῖ καὶ τελείως θεραπεύει (ἰᾶται K) WKS / θεραπεύει L / πνιγεῖσα - 6 βοηθεῖ om.DN L / καὶ τὸν οἶνον εἰ πίῃ γυνὴ δυστοκοῦσα μεγάλως βοηθεῖ αὐτῇ K / καὶ ὁ DN / ζωμὸς δὲ DN 7 ὁμοίως - ἐσθιομένη om.WKS / αὐτὴ om.L / ἐσθιόμενος L / τοῖς : τοὺς ὑπὸ DNL / δηλητηρίων DN / πιοῦσι K : πεπονθῶτας DNL / ἰᾶται DNL 8-11 τρίγλας - πρᾶγμα om.WKS 8 τρίγλης I : τρίγλη DN : τρίγλα L / δὲ om.AGHFIO / τὶς ζώσῃ ἔτι DN / κείρας DN : μερι GHF / ἔτι - αὐτῆς om.DN / αὐτῆς om.I 9 ταύτην μὲν αὖθις ἀπολύσει DN / ἀπολύσει ζῶσαν L / ἀπολύῃ A / ἀπελθεῖν καὶ om.DN τὸ δὲ γένειον δώσῃ DN / δώῃ AGHO : δοίη I 10 συμπάθειαν ἐπάγει L / μεγίστην om.IOL / ἐμπάθειαν GH / ἐρωτικὴν - φιλίαν : πρὸς φίλτρον ἑαυτοῦ ταύτην διεγερεῖ DN / ἄκρως ποιεῖ φορουμένη L 11 πρὸς : ἐν I : εἰς DN / παντὶ πράγματι I εἰ : ὅστις L / τὶς om.L / τινὰ WKS : om.DN / ὀφθαλμοὺς om.WKS 12 ἀμβλυωποῦντας DN / παραχρῆμα ἀπαλλάξεις αὖθις τοῦτον τοῦ πάθους K / ἡ λύσις A / λύσει (τὴν ἀμβλυωπίαν καὶ DN) DNL / λύσις - 13 τούτου om.K / δὲ τούτου om.DN / τοῦτον ἡ δὲ L / ἐὰν τὴν χολὴν WKS / τοῦ ἰχθύος : δὲ αὐτοῦ DN / χρίσῃς (καὶ K) W KS / παρέχει (παρέξει A) εἰσέτι AGHF / παρέξεις. ταύτης τὸ (δὲ W) ἧπαρ λεῖον ἐπιπλασσόμενον εἰς δήγματα τρυγόνων θαλασσίων καὶ δρακόντων (δρακοντίων K) καὶ σκορπίων καὶ σμυρνίδων πληγὰς ἄκρως ἰᾶται (ποιεῖ K) ἡ δὲ τέφρα αὐτῆς σὺν μέλιτι ἐπιτεθεῖσα ἀκάνθας ἐκρίνει (ἐξάγει K) καὶ σκόλοπας (θεραπεύει om.K). τρίγλης δὲ εἴ τις τὸ γένειον κείρῃ ἔτι ζώσης αὐτῆς, αὐτὴν δὲ ζῶσαν ἀπολύσει ἐν τῇ θαλάσσῃ καὶ (δώσῃ ἐν ποτῷ γυναικὶ φίλτρον ἐπάγει om.S) (εἰς K) ἄκρως. φορούμενον δὲ ἐπιτυχίαν παρέχει WKS.

Scholia marginalia.
9 εἰς ἐρωτικὴν συμπάθειαν καὶ φιλίαν O 10 εἰς ἐπιτυχίαν O 11 ἀκωτικὸν O 12 λύσις αὐτοῦ O.

3 Diosk. II 22.

63. Περὶ τριχαίου.

Τριχαῖος ἰχθύς ἐστι θαλάσσιος. τούτου ἡ κεφαλὴ καυθεῖσα καὶ σὺν μέλιτι χρισθεῖσα τὰ πλαδαρὰ τῶν ἑλκῶν ἰᾶται, καὶ ἀλωπεκίας δασύνει. σὺν ἐλαίῳ δὲ τακεῖσα καὶ διηθηθεῖσα καὶ μιγεῖσα μετὰ λαδάνου καὶ ἀδιάντου τὰς ῥεούσας τρίχας τῆς κεφαλῆς ἵστησιν.

D N W K S L

1 περὶ τριχαίου om.DNKL 2 τριχίας K / θαλάττιος K / καεῖσα K 3 πλαδαρὰ : μαδαρὰ DNWSL 4 διηθισθεῖσα WS / μετὰ om.DNL 5 λαδάνῳ (τε DN)DNL / ἀδιάντῳ DNL / τρίχας ἀπὸ L / τῆς om.L.

64. Περὶ τρυγόνος.

Τρυγόνος θαλασσίας τὸ κέντρον εἰς δένδρον πηγνύμενον ξηραίνει αὐτό. εἰ δὲ εἰς οἰκοδομουμένην οἰκίαν ἢ εἰς πλοῖον καταπήξῃ τις αὐτό, ἀστοχήσει καὶ οὐ τελεσθήσεται. εἰ δὲ εἰς οἶκον ἢ εἰς πλοῖον κεῖται, ἀστοχίαν δηλοῖ. ἔστι γὰρ κατὰ πάντα αἴτιον βλάβης μεγάλης.

A G H F I O Z

1 περὶ ἰχθύου λεγομένου τρυγόνος κεφάλαιον ρμη΄ O 2 θαλασσίας om.IO / τὸ om. AGHFIO / κέντρον ὀδονταλγοῦντας ἰᾶται. ἐὰν δὲ Z / πήξῃς αὐτὸ ξηρανθήσεται τὸ δένδρο. ὁμοίως καὶ Z 3 εἰ δὲ om.Z / οἰκοδομουμένην om.Z / οἶκον καὶ Z / καταπήξῃ – 4 πλοῖον om.AGHFZ 5 κεῖται – γὰρ om.Z / κατὰ : εἰς I / βλάβης καὶ ζημίας ἐστίν, ἕως οὗ πεπληγμένον ἐστὶν Z / μεγάλης om.IOZ.

Scholia marginalia.

2 εἰς τὸ ξηράναι δένδρον καὶ ἀτελὲς μένειν O.

2 Diosk. II 20.



65. Περὶ ὕδρου.

Ὕδρος ὄφις ἐστὶ τὰ πολλὰ ἐν τοῖς ὕδασι διαιτώμενος, καὶ νηχόμενος (120) παρὰ λίμναις, ὑπερέχων τῷ στήθει τοῦ ὕδατος, πονηρὸν ζῷον, παρὰ Πέρσαις καὶ Σύροις ἐσθιόμενον. οὗτος ἔχει λίθον ἐν τῇ κεφαλῇ. ἐὰν οὖν τις αὐτὸν ἀγρεύσῃ, οὕτως ποιεῖ αὐτόν, καὶ ἐμεῖ τὸν τοιοῦτον λίθον. κρεμᾷ αὐτὸν ἄνω κάτω καὶ ὑποθυμιᾷ αὐτῷ δάφνην, καὶ ἐξορκίζει λέγων τοῦτον τὸν λόγον: "μὰ τὸν σὲ κτίσαντα θεόν, ὃν πολλάκις ἀξιῶ, προσκυνήσας τῇ διττῇ σου γλώσσῃ, ἐάν μοι δῷς τὸν λίθον, οὐ μὴ σὲ ἀδικήσω, ἀλλὰ σὲ ἀποπέμψω εἰς τοὺς ἰδίους σου τόπους". καὶ ἐπὰν ἐμέσῃ τὸν λίθον, λαβὼν ἐν ῥάκει ὁλοσηρικῷ φύλαττε. εἰ δὲ μὴ ὑπακούσῃ δοῦναι τὸν λίθον, λαβὼν τμητήριον σχίσον τὴν κορυφὴν αὐτοῦ καὶ εὑρήσεις τὸν λίθον ἐνεχθέντα ἐπὶ τῆς κεφαλῆς, καθὼς καὶ πολλὰ τῶν ζῴων ἕτερα ἔχουσιν. τοῦ δὲ λίθου τούτου ἡ δύναμις πειράζεται οὕτως: γέμισον εἰς χαλκοῦν σκεῦος ὕδωρ καὶ

A G H F I O D N W K S L

1 στοιχεῖον υ΄ AGHF / περὶ ὀφέου λεγομένου ὑδρός, κεφάλαιον ρμθ΄ O / ὕδρου Υ΄ S / περὶ ὕδρου om.IDNKL 2 ἐστὶν ὄφις AGHFIO / τὰ πολλὰ om.DNWKSL / τοῖς om. IWKSL / διαιτούμενος O / καὶ om.AGHFIO 3 παρὰ λίμναις νηχόμενος (ἀναχόμενος GHF) AGHFIO / νηχόμενος ὡς τὰ πολλὰ DNL / ὑπερέχων – ὕδατος om.WKS / τὸ στῆθος IODN / πονηρὸν ζῷον om.DN 4 παρὰ – ἐσθιόμενον om.AGHFIODN / καὶ παρὰ L Πέρσας S / ἐσθιόμενος WKS / λίθους WS : om.L 5 κεφαλῇ κρεμάμενον (λίθον φοροῦμενον L) DNL / οὖν : δὲ L / εὕρῃ αὐτὸν τὸν ὄφιν L / ἀγρεύσῃ om.L / αὐτὸν ἀγρεύσῃ : ἐντύχῃ τῷ τοιούτῳ ὄφει DN / οὕτως – καὶ om.AGHFIODNL / αὐτὸν om.K ἐμεῖ – 6 λίθον : καὶ θέλει λαβεῖν τὸν λίθον DN : εὑρίσκει τὸν λίθον ἐνεχθέντα (ἐναχθέντα GHF) ἀπὸ τῆς κεφαλῆς AGHFIO / κρεμασμένου (κρεμαμένου I)(κρεμάμενον O)(κριμμένου GHF) καὶ ἐξορκιζομένου τοῦ ὄφεως (ὄφιος A)(ἵνα om.IO) τὸν λίθον ἐξεμέσῃ (ἀπεμεῖ IO) ὑποθυμιωμένης AGHFIO / αὐτὸν – κάτω om.AGHFIODNL / ἄνω κάτω : κατὰ κεφαλὴν K / ὑποθυμιάσας DN / αὐτῷ om.DNWKS / δάφνης AGHFIOL 7 ἐξορκίσῃ ἐκπέμπει τὸν λίθον ὑποθυμιωμένης L / δάφνην ἐξορκισάτω αὐτὸν DN / ἐξορκίζει om.AGHFIODNL / ἐξορκίζει αὐτὸν K / λέγομεν AL : λεγομένη GHF : λεγομένου IO / τοῦτον – λόγον : οὕτως (οὕτω A) AGHFIODNL / μὰ : μετὰ F / σὲ om. L 8 ἠξίωσας προσκυνεῖν DN / προσκυνῆσαι GHF / διχῇ AGHFWKSL : διχήσει IO / γλώττῃ DNL / δώῃς AGHFIOL : δώσῃς WKS 9 σὲ om.DNWKSL / ἐκπέμψω (ἵνα πέμψω W S)(ἀποστελῶ K) σὲ DNWKSL / ἀβλαβῆ πρὸς τὰς οἰκείας διατριβὰς DN / τὰ ἴδια WK SL / σου om.WKS 10 τόπους om.IOWKSL / ἐπειδὰν WKS / ἐμέσῃ : ἐκπέμψῃ σοι L / λίθον φύλαξον αὐτὸν WKS / λαβὼν om.WKS / λαβὼν φυλασσέτω DN / βαλὼν εἰς ῥάκος L / ὁλοσηρικὸν L : ὁλοσυρίγγῳ AGHF / φύλασσε L : om.DNWKS 11-13 εἰ δὲ – ἔχουσιν om.AGHFIO 11 παρακούσῃ σου (σοι L) WKSL / δοῦναι – λίθον om.WKSL / λαβών: ἀγρευσάτω (ἀγρεύσας L) αὐτὸν καὶ DNL / τμητηρίῳ L / σχίσας DNL 12 καὶ om.DNL ἐπὶ : ὑπὸ L / ἐνεχθέντα – κεφαλῆς om.WKS 13 καθὼς – ἔχουσιν om.DNL / ἕτερα πολλὰ WS / τοῦ δὲ – 14 δύναμις : καὶ εἰ θέλῃς λαβεῖν παρ' αὐτῆς δυνάμεως τοῦ τοιούτου λίθου DN : οἵτινες (οἳ K) καὶ ἐνεργοῦσι φυσικῶς WKS / ὁ δὲ τοιοῦτος (τοῦ ὕδρου K) λίθος (ἤγουν τοῦ ὕδρα WS) ὑδεριῶντας (καὶ ὑδρωπικοὺς WS) ἄκρως θεραπεύει. καὶ εἰ θέλῃς πληροφορηθῆναι πείρασον WKS / πειράζεται οὕτως om.DN οὕτω AL / γεμίσας DN / εἰς om.DNWKS / ἀγγεῖον χαλκοῦν WKS / χαλκὸν GHFO / σκεῦος : ἀγγεῖον I / ὕδατος DN / καὶ om.L.

ἐπίθες τὸν λίθον περιάπτων τῷ ἀγγείῳ. σημείωσον οὖν καὶ εὑρήσεις τὸ ὕδωρ καθ' ἑκάστην ἡμέραν μειούμενον κοτύλας δύο, ἤγουν ξέστην ἕνα.

Ἐγὼ οὖν ποτε ὑδεριώσῃ γυναικὶ περιῆψα τὸν λίθον καὶ ἀλυπότατα περιεγενόμην τοῦ πάθους. παπύρῳ γοῦν ἑκάστης ἡμέρας τὴν κοιλίαν αὐτῆς ἐμέτρουν, καὶ παρὰ τέσσαρας δακτύλους ἀεὶ τὸ μέτρον ἑκάστης ἡμέρας εὕρισκον. καὶ εἰς τὸν κατὰ φύσιν ὄγκον τῆς γαστρὸς τὴν γυναῖκα ἔστησα. εἶτα ἀφειλόμην τὸν λίθον. εἰ γὰρ ἐπιμείνῃ περιαφθεὶς ὁ λίθος, καὶ τὸ ἔμφυτον ὑγρὸν ἐξαναλίσκει, καὶ ξηρὸν τὸν φοροῦντα ἀπεργάζεται, καὶ βλάψεις μᾶλλον ἢ ὠφελήσεις. ἁρμόδιος γάρ ἐστιν πρὸς μέτρον περιαπτόμενος, οὐ μόνον ὑδρωπικοῖς, ἀλλὰ καὶ ποδῶν ῥεύματα καὶ δακρύων ἐπιφορὰς καὶ εἰς πᾶν μέλος. ῥευματιζομένους δὲ πόδας ἢ κεφαλὴν τῷ τῆς ἀντιπαθείας λόγῳ τῆς φύσεως θεραπεύει.

Τοιαύτην φύσιν τε καὶ ἐνέργειαν οὗτος ὁ λίθος κέκτηται τοῦ ὕδρου ὄφεως τοῦ λεγομένου.

15 θὲς IOL : θεὶς DN : κρέμασον εἰς αὐτὸν (αὐτὸ K) WKS / περίαψον L : om.DN (περὶ DN) τὸ ἀγγεῖον (καὶ L) DNL / σημείωσαι IOL / σημειούτω καθ' ἑκάστην ἡ τοῦ ὕδατος ἐπιφάνεια DN / οὖν om.IODNL / περιάπτων – 16 ὕδωρ om.WKS / καὶ καθ' WKS / ἑκάστης ἡμέρας AGHFIOL / ἡμέραν δοκιμάζων εὑρήσεις φυροῦν WS / ἡμέραν πειράζων εὕρει τις ἐλαττούμενον K / μειούμενον om.AGHFIOWKSL / παρὰ (περὶ L) κοτύλας AGHFIOL / κοτύλας – ἤγουν om.S / ἤτοι DNK : ὅ ἐστι AGHFIOL (ὁ A) ξέστης AGHFIOL 17 ἕνα om.AGHFIOL 18 ἐγώ γε (δὲ WS)(γὰρ K) DNWKS / γοῦν L : om.WKS / οὖν τὸν (τοιοῦτον om.L) λίθον DNWKS / ποτὲ ὑδεριώσῃ : πολυδριώδη GHF / γυναικὶ ὑδεριώσῃ DN / γυναιξὶν ὑδεριώσαις L / ὑδεριόντι K / γυναικὶ om.DNWKSL / τὸν λίθον om.DNWKSL / καὶ om.W / ἀπολυπότατα GHF 19 ἐγενόμην L / τὸ πάπυρον L / παπύρῳ γοῦν : τὴν γὰρ ζώνην DN : πειράζων γὰρ WKS / καθ' ἑκάστης KS / καθ' ἑκάστην ἡμέραν DNW / τὴν κοιλίαν om.O / τὴν – 20 παρὰ om.WKS / τὴν – αὐτῆς om.DNL / εὕρισκον ἀεὶ παρὰ DN / παρὰ om.IO / παρὰ δακτύλων τεσσάρων AGHF / τέσσαρις O / ἀεὶ om.WKS / καὶ – μέτρον om.F / εἰς τὸ μέσον IO / ἀεὶ – 21 καὶ om.DN / ἑκάστης ἡμέρας om.WKS / ἕως εἰς DN : om.WKS / τὸν : τὸ AGHFIO : om.WKSL / φύσιν : φυγὴν L / φύσιν τὸν ὑδεριῶντα WKS / ὄγκον – 22 γυναῖκα om.AGHFIOWKSL / κατέστησα DN / εἶτα : καὶ AGHFIOL : om.WKS / ἀφελόμην AGHFIO : ἀφελόμενος WKS / τὸν λίθον om.AGHFIODNL / ἐπιμένῃ AI : ἐπὶ μῆνα L : ἐπέκεινα τοῦ μέτρου WKS 23 περιαπτόμενος DN : περιάψῃς τινὶ WKS / ὁ – καὶ om.WKS / ὑγρὸν : θερμὸν DWS / ἀντμάξει καὶ ἐξαναλήξει WKS / ἐξαναλάσει D : ἐξαναλώσας N 24 φοροῦντα ξηρὸν K / ἀπεργάσεται DN : ἀπεργάσηται WKS καὶ – ὠφελήσεις om.AGHFIODNL / ὠφελήσεις καὶ WS / ἁρμόδιον L : ἁρμοδίως IO / ἁρμόδιος – 25 περιαπτόμενος om.WS / γάρ ἐστιν : δὲ γίνεται DN / ἁρμόδιος – ὑδρωπικοῖς om.K / περιαπτόμενος : ἐπαγόμενος DN : ἐπαγόμενον L / ὑδρωπικοῖς καὶ ὑδεριῶσιν ἁρμόδιος ὁ λίθος WS 26 εἰς ποδῶν K / ποδαγροῖς (ποδαγρικοῖς L) ῥευματιζομένοις DNL / καταφορὰς K / εἰς πᾶν : τοὺς καθοτιοῦν WS : καθόλου τὸ ὁτιοῦν AGHFIO / μέρος I : om.WKS / ῥεῦμα K 26–30 καὶ δακρύων – λεγομένου om. DNL 27 δὲ om.IOWKS / ὀφθαλμοὺς (ὀφθαλμῶν K) καὶ πόδας (ποδῶν K) WKS / ἢ: καὶ WKS / κεφαλὴ AIO / κεφαλὰς (κεφαλῆς K) ἴᾶται WKS / ἀντευπαθείας GHF / τῷ – 30 λεγομένου om.WKS / ὕδρου : αὐτοῦ GHF / ὑδρόφεως IO / τοῦ om.IO.

Scholia marginalia.

4 εἰς ὑδρωπικοὺς καὶ ῥευματιζομένους πόδας καὶ δάκρυν ἐχόντων ἐπιφορὰς ἔστι τοῦτο μέγιστον O.



## 66. Περὶ φάγρου.

Φάγρος ἰχθύς ἐστι θαλάσσιος κάλλιστος. τούτου τὸ ἐν τῇ κεφαλῇ ὀστοῦν ἢ ὁ λίθος φορούμενος τὰς καταποθείσας ἀκάνθας ἀνάγει. ἡ δὲ χολὴ αὐτοῦ ὀφθαλμοῖς ἐπιχρισθεῖσα ὀξυωπίαν παρέχει. οἱ δὲ ὀδόντες φορούμενοι ὀδονταλγίαν ἰῶνται.

D N W K S L Z

1 φάγρου φ' WS / περὶ φάγρου om.DNKLZ 2 γάγρος Z / θαλάσσιος om.DNZ / κάλλιστος om.L / τὸ : ὁ DN 3 ὀστέον WSL : om.DN / ὀστοῦν περιαφθὲν Z / ἢ ὁ : ἤτοι L : om. DNZ / λίθος φορούμενος om.Z / φορούμενα WKS / ἀναγκάκανθας D / ἐξάγει Z : om.D 4 ὀφθαλμοῖς ἐπιχρισθεῖσα om.Z / ὀδόντες : λίθοι DNWSLZ / λίθοι οἱ ἐν τῇ κεφαλῇ εὑρισκόμενοι DNL / λίθοι τῆς κεφαλῆς αὐτοῦ Z 5 φορούμενοι om.DNZ / ὀδονταλγίαν καὶ ὀδοντοφυίαν Z.

## 67. Περὶ φώκης.

Φώκη ζῷόν ἐστι θαλάσσιον τετράπουν. ταύτης τὸ δέρμα κἂν ἐν οἴκῳ κἂν ἐν πλοίῳ ἀπόκειται ἢ φορῆται, οὐκ ἐπελεύσεται εἰς τὸν φοροῦντα πᾶν κακόν· ἀποστρέφει γὰρ κεραυνούς, καὶ πρηστῆρας καὶ χάλαζαν καὶ κινδύνους καὶ πνεύματα καὶ βασκανίαν, δαίμονας, ληστὰς καὶ νυκτερινὰ συναντήματα, θηρία καὶ ἑρπετὰ καὶ φαντάσματα. δεῖ δὲ σὺν αὐτῷ καὶ λίθον κοράλιον θαλάσσιον περιάπτειν.

Κασσύματα δὲ ὁ φορῶν ἐκ τοῦ δέρματος ποδαγρὸς ὤν, ἰαθήσεται.ὁ δὲ ὑγιὴς ποτὲ οὐ ποδαλγεῖ. εἰ δέ τις περιδήσῃ τὸ κατάρτιον τοῦ πλοίου, κεραυνοὺς <ἀποτρέπει>, οὐδὲ ναυαγήσει ποτέ. κεφαλὴν δὲ φώκης ἐὰν χώσῃς μέσον ἀμπελίου, πάντοτε ὁ καρπὸς αὐτοῦ πολὺς ἔσται σφόδρα.

A G H F I O Z

1 στοιχεῖον φ´ AGHF / περὶ ζῴου θαλασσίου λεγομένου φώκης κεφάλαιον ρν´ O / περὶ φώκης om.IZ 2 φώκη – τετράπουν om.AGHFIO / φώκης πυτίαν ἐάν τις περιάψηται νικήσει (νικᾷ GHF) πάντας ἀντιδίκους ἐν (τῷ om.IO) δικαστηρίῳ. ἔστιν γοῦν (γὰρ IO) νικητικὸν (νικητὸν G) (καὶ om.IO) δραστικόν. αἱ δὲ τρίχες αἱ περὶ τὰς ῥίνας φορούμεναι ἐν (σὺν IO) τῇ καρδίᾳ ἐπιτευκτικὸν (ἐπιτάττει δὲ GHF) εἰσὶ καὶ χαριτήσιον (χαριστήριον GHF) μέγιστον. τὸ δὲ δέρμα αὐτῆς AGHFIO / κἂν : εἴτε Z : καὶ AGHF 3 ἀπόκειται – φορῆται om.Z / οὐκ : οὐ μὴ IO : οὐδὲν A / εἰσελεύσεται Z / εἰς : ἐπὶ GHF : om.IO / τὸν φοροῦντα om.IOZ 4 αὐτῷ πᾶν IOZ / πᾶν om.AGHF / κεριανοὺς GHF / καὶ πρηστῆρας – 5 χάλαζαν καὶ om.AGHFIO καὶ πνεύματα καὶ om.AGHFIO / βασκανίαν om.Z / ληστὰς – 6 συναντήματα om.Z / θηρία – φαντάσματα om.AGHFIO / δεῖ : εἰ GHF 7 αὐτῷ ἔχειν (ἔχεις HF) AGHFIO καὶ om.AGHFIO / κουράλιον AGHF / θαλάσσιον δεδεμένον ἀνορεξίαν λύουσι AGHF / περιάπτειν om.AGHFIO.



Φώκης ὁ ἐγκέφαλος πινόμενος δαίμονας διώκει καὶ ἱερὰν νόσον θεραπεύει. οἱ ὀφθαλμοὶ φορούμενοι πᾶσαν ὀφθαλμίαν ἰῶνται. δεξιὸς δὲ ταύτης ὀφθαλμὸς ἀξιέραστον καὶ ἐπιτευκτικὸν ποιεῖ τὸν φοροῦντα. ἡ δὲ γλῶσσα ὑπὸ τὰ ὑποδήματα φορουμένη νίκην παρέχει. αἱ δὲ τρίχες αἱ περὶ τὰς ῥίνας φορούμεναι καὶ ἡ καρδία ἐπιτευκτικὸν καὶ χαριτήσιον μέγιστον.

Ἐὰν δέ τις τὰς ἐν ῥινὶ τρίχας μεγάλας καὶ τραχείας οὔσας ἐν ἐλαφείῳ δέρματι δήσας φορῇ καὶ εἰσελεύσεται ἀνὰ μέσον ἐχθρῶν, πάντες αὐτὸν ὡς φίλον ἀσπάζονται. ἡ δὲ καρδία φορουμένη καὶ ἡ πυτία ὁμοίως πάντα χαλεπὸν ἀποστρέφουσιν, πᾶν δὲ ἀγαθὸν ἐπιφέρουσιν τῷ φοροῦντι. φώκης δὲ πυτίαν περιαπτόμενος νικᾷς πάντας ἐν δικαστηρίῳ. ἔστιν γὰρ νικητικὸν δραστικόν. (121)

Αἱ δὲ σάρκες ἐσθιόμεναι καὶ τὸ αἷμα σὺν οἴνῳ πινόμενον ξηρὸν λάθρα, πᾶσαν ἐπιληψίαν, μανίαν καὶ σκότωσιν καὶ πᾶν πάθος ἰᾶται. ἡ δὲ χολὴ σὺν μέλιτι χριομένη πᾶσαν ὀφθαλμίαν θεραπεύει. ἐὰν δέ τις τὴν καρδίαν τῆς φώκης καὶ τὸ ἄκρον τῆς γλώττης καὶ τρίχας τῆς ῥινὸς καὶ τὸν δεξιὸν ὀφθαλμὸν καὶ τὴν πυτίαν δήσῃ ἐν ἐλαφείῳ δέρματι καὶ φορῇ, ἔσται νικῶν πάντας ἐν πολέμῳ γῆς καὶ θαλάσσης. φεύξεται γὰρ αὐτὸν πᾶν πάθος καὶ νόσος, καὶ πᾶς δαίμων καὶ θηρία. καὶ ἁπλῶς εἰπεῖν πᾶν τι ἀγαθόν ἐστιν. (122)

8-32 κασσύματα – ἐστὶν Z : om.AGHFIO 15 ἐπιτευτικὸν Z 17 ἐπιτευτικὸν Z 20 φορῇ scripsi : φορεῖν Z 22 debuit πᾶν χαλεπὸν.

8 Kyr. I 21, 60.

## 68. Περὶ χελώνης.

Χελώνης χερσαίας τὸ αἷμα ξηρὸν πινόμενον ὕδατι, ἐπιληπτικοὺς ἰᾶται. μετὰ νίτρου δὲ λειωθὲν καὶ ἐπιχρισθὲν λέπρας καὶ κνισμοὺς ἰᾶται.

Χελώνας θαλασσίας τὸ αἷμα παντὸς θηρίου ἐστὶν ἀντιφάρμακον, καὶ πάντας θηριοδήκτους ἰᾶται, ξηρὸν πινόμενον. τὰ δὲ ὠὰ αὐτῆς βιβρωσκόμενα ἐπιληπτικοὺς καὶ σεληνιακοὺς ἰῶνται. (123)

D N W K S L Z

1 χελώνης χ´ WS / περὶ χελώνης om.DNKLZ 2-4 χελώνης - ἰᾶται om.Z 3 (ὁμοίως δὲ L) καὶ μετὰ DNL / δὲ νίτρου K : τοῦ ἰνιτζίου DN / δὲ om.DNL / ἀντὶ φαρμάκου λειωθὲν DNL / ἀλειφόμενον DNL 5-7 χελώνας - ἰῶνται om.AGHFIO.

2 Diosk. II 79,2.8. 5 Diosk. II 79,2.11.

## 69. Περὶ χάννου.

Χάννος ἰχθύς ἐστι θαλάσσιος. οὗτος ὀπτὸς ἐσθιόμενος, ὀξυδορκίαν παρέχει. ἐπιχριόμενος δὲ τῇ κεφαλῇ ἀλωπεκίας καὶ πίτυρα σμήχει. ἡ δὲ χολὴ αὐτοῦ σὺν μέλιτι χρισθεῖσα οὐλὰς τὰς ἐν ὀφθαλμοῖς ἰᾶται, καὶ τὰ πάνυ παλαιότατα λευκώματα ἀποκαθαίρει.

D N W K S L

1 περὶ χάννου om.DNKL 2 χάννης DN / θαλάττιος DNK / ὀξυωπίαν K 3 τὴν κεφαλὴν WS / πιτυρίδας L : πιτυρίας WS 5 παλαιόματα K / λευκώματα om.K / ἀνακαθαίρει WS.



## 70. Περὶ χλέματος.

Χλέματος ὀφθαλμοὶ φορούμενοι μετὰ ῥίζης παιωνίας ἐπιτευκτικὸν ἄκρον. ἡ δὲ χολὴ ἐγχριομένη πᾶσαν ἀχλὺν διώκει. τὸ δὲ ἧπαρ ἴκτερον διώκει.

I O

1 περὶ ἰχθύου λεγομένου χλέματος κεφάλαιον ρνβ´ O : om.I.

Scholia marginalia.

2 ἐπιτευχτικὸν O 3 εἰς πᾶσαν ἀχλύν, ἴκτερον O.

## 71. Περὶ χηλοῦ.

Χηλὸς ἰχθύς ἐστι θαλάσσιος. τούτου τὸ στέαρ μετὰ χηλοῦ τήλεως λειωθὲν καὶ χρισθὲν τὰς ἐν τοῖς χείλεσι γινομένας ῥαγάδας ἰᾶται.

D N W S L Z

1 περὶ χηλοῦ om.DNLZ 2 χήλωνος ἰχθύος Z / ἐστὶ - τούτου om.Z / θαλάσσιος om.DN / στέατος τήλεως λειωθεὶς L / τήλιος WS 3 τοῖς om.Z / γινομένας om.DNZ.

## 72. Περὶ χοίρου.

Χοῖρος θαλάσσιός ἐστι. τούτου ἡ δορὰ ἐν οἴκῳ ἀποτιθεμένη πᾶσαν βασκανίαν καὶ δαίμονας καὶ πνεύματα ἀποδιώκει.

D N W S L

1 περὶ χοίρου om.DNL 2 χοίρου θαλασσίου L / ἐστὶ θαλάσσιος WS / ἐστὶ om.L ἀποτεθεῖσα DN 3 καὶ δαίμονας - πνεύματα om.DN / καὶ πνεύματα om.WS / ἀποδιώκει καὶ δαίμονας καὶ πνεύματα ἀπελαύνει N.

## 73. Περὶ χελιδόνος.

Χελιδὼν ἰχθύδιόν ἐστι μικρὸν ἱπτάμενον ὑπὲρ τῶν κυμάτων τῆς θαλάσσης ἐν ταῖς ζάλαις. τούτων γὰρ πολλῶν ἅμα ἀνιπταμένων καὶ δυνόντων ἴσασιν οἱ ναῦται, ὅτι ἄνεμον καὶ ζάλην μηνύουσιν ἐν τῇ θαλάσσῃ.
Ταύτην ἐάν τις ἀγρεύσῃ ἐν πλοίῳ καὶ ξηράνας φορῇ, ἔσται δρομαῖος καὶ ταχὺς καὶ ἐπιτευκτικὸς ἐν ἅπασι πράγμασι καὶ λόγοις.

I O D N W K S L Z

1 περὶ ἰχθύου λεγομένου χελιδόνος κεφάλαιον ρνγ΄ O / περὶ om.WS / χελιδὼν WS / περὶ χελιδόνος om.IODNKLZ 2 χελιδὼν θαλάσσιον Z / ἰχθὺς DNL / ἐστὶ πάνυ σμικρότατος ὑπερίπταται δὲ DN / μικρὸν om.K / μικρόν ἐστι θαλάττιον (θαλάσσιον K) WKS / μικρὸς πάνυ ἱπτάμενος L / ἱπτάμενον om.WKS / ὥστε εὐθὺς ἱπτανόμενον ὑπεράνω Z / ὕπερθεν K : περὶ WS : om.DN / τῆς θαλάσσης κυμάτων ἱπτάμενον (ὕπερθεν WS) WKS / τῆς θαλάσσης om.IODZ 3 θαλάσσης τῶν L / ἐν – ζάλαις om.WKS / τοῦτον DNL : τοῦτο Z / γὰρ om.WKS / πολλῶν om.Z / πολλοὶ τῶν ναυτικῶν (ἀνθρώπων L) ὁρῶντες (ἰδόντες L) DNL / ἅμα om.DNWKSLZ / ἀνιπτάμενον DNLZ : ἱπταμένων WKS / αὖθις δύνοντα DN : εἰσδύνοντα L : δονούντων WS : δυνούντων S : εἰσδυόμενον Z 4 ὑπονοοῦσιν DN : νοοῦσι L : ἐννοοῦσι Z / οἱ ναῦται om.DNL / ναυτικοὶ WKS / ὡς ὅτι Z : om.DN / ἀνεμοζάλην IO / μηνύει LZ : μηνύειν WS : ἔσεσθαι DN : σημαίνουσιν K / ἐν om.IODNLZ / τῆς θαλάσσης L : om.DNZ 5 ταύτην τὴν χελιδόνα WS / δὲ ἐὰν Z / εἰ K / (ἀγρεύσας DN) ζῶσαν DNL / πιάσῃ Z / ἐν πλοίῳ om.DNWKSLZ / καὶ ξηράνας om.DNL / ξηρὰν WKS / καὶ φορῇς L / δρομεὺς O : δρυμὺς I 6 ἐπιτευτικὸς WSZ / ἐν τοῖς O / παντὶ πράγματι WS / δρομαῖος – λόγοις om.K / ἐν – λόγοις om. DNLZ / τε καὶ λόγῳ O : om.WS.

Scholia marginalia.

1 σημεῖον ναυτικὸν O 5 εἰς τὸ εἶναι δρομαῖον καὶ ἐπιτευκτικὸν καὶ ταχὺν ἐν πράγμασιν O.



## 74. Περὶ χρυσάφου.

Χρύσαφος ἰχθύς ἐστι θαλάσσιος. τούτου οἱ ὀφθαλμοὶ περιαπτόμενοι, τριταῖον καὶ τεταρταῖον ἀποσοβοῦσιν. οἱ δὲ ἐν τῇ κεφαλῇ λίθοι περιαπτόμενοι τῷ τραχήλῳ φυσικῶς ἰῶνται φθισικούς. ἡ δὲ χολὴ αὐτοῦ φορουμένη ἐν σκεύει καθαρῷ ἢ χριομένη μετὰ μύρου εὐείδειαν παρέχει καὶ εὐπρέπειαν καὶ ἡδονὴν ἐν ταῖς συνουσίαις. οἱ δὲ ὀφθαλμοὶ τριταῖον ἰῶνται, καὶ πᾶσαν ὀφθαλμίαν.

I O D N W S L Z

1 περὶ ἰχθύου χρυσόφου κεφάλαιον ρνα΄ O / περὶ χρυσάφου om.IOLZDN 2-4 χρύσαφος – φθισικοὺς om.IO 2 χρυσόφις DN : χρυσάφις WS : χρυσοχοῦ Z / θαλάττιος DN / ἐστὶ – 3 ἀποσοβοῦσιν om.Z / ἀπαλλάτουσιν WSL / δὲ om.Z 4 τῷ om.WSL Z / τραχήλῳ om.Z / φυσικοὺς Z / φυσικῶς ἰῶνται om.WSL / φθισικοὺς ἰῶνται WS χρυσόφου ἡ IO / δὲ om.IO 4-7 ἡ δὲ – ὀφθαλμίαν om.Z 5 αὐτοῦ – ἢ om.IO / ἢ om.WS / χριομένη – μύρου om.WS / μετὰ μύρου om.DNL / εὐείδειαν παρέχει : εὐωδίας ἐστὶ DN : om.IO 6 ἡδονὴν καὶ εὐπρέπειαν (εὐτρέπειαν O) IO / καὶ εὐπρέπειαν om.WS / εὐπρεπείας DN / εὐπρέπειαν παρέχει L / καὶ ἡδονὴν om.IODNL / ταῖς om.WS / ἐν – συνουσίαις om.DN / συνουσίαις καὶ ἡδονὴν L / συνουσίαις παρέχει (παρεκτικὴ DN) DNIO / παρεκτικὴ πρὸς δὲ καὶ ἡδονῆς ἐν συνουσίᾳ μεγίστης N / οἱ δὲ – 7 ὀφθαλμίαν om.DNWSL.

Scholia marginalia.

5 εἰς ἡδονὴν καὶ εὐτρέπειαν ἐπὶ συνουσίαις O 7 εἰς τρίχας καὶ πᾶσαν ὀφθαλμίαν O.

4 Kyr. I 22, 25.

## 75. Περὶ ψάρου.

Ψάρος ἰχθύς ἐστι θαλάσσιος. οὗτος νεαρὸς ὢν καὶ ζωμιστὸς ἐσθιόμενος καὶ μετ᾽ οἴνου πινόμενος εὐμορφίαν καὶ εὐστομαχίαν παρέχει.

I O D N W S L

1 περὶ ἰχθύου λεγομένου ψαρὸς κεφάλαιον ρνδ΄ O / ψάρου ψ΄ WS / περὶ ψάρου om. IDNL 2 ψάροι ἰχθύες κάλλιστοι ὅτι πυκνῶς IO / θαλάττιος D / ὢν καὶ om.WS / καὶ om.L / ἐστὶ – ζωμιστὸς om.IO / ζωμισθὸς W / ἐσθιόμενοι IO 3 καὶ – πινόμενος om.IO / εὐμορφίαν ποιοῦσι IO : om.DNWSL / καὶ om.DNWSL / εὐστομαχίαν πᾶσαν WS / παρέχουσι πολλὴν (πολλοὶ O) IO.

Scholia marginalia.

3 εἰς εὐμορφίαν καὶ εὐστομαχίαν O.

76. Περὶ ψύλλων.

Ψύλλος ὁ ἐν τοῖς αἰγιαλοῖς εὑρισκόμενος ἑψηθεὶς ἐν ῥοδίνῳ ἢ γλευκίνῳ ὠταλγίαις ὠφελεῖ. ψύλλους δὲ θαλασσίους ἐὰν ζέσῃς ἐν ὕδατι θαλασσίῳ μετὰ κονύζης βοτάνης καὶ ῥάνῃς εἰς οἶκον ἔχοντα ψύλλους, οὐκέτι γενήσονται (124) ἐν αὐτῷ ψύλλοι. ἐὰν δὲ ψύλλον θαλάσσιον ἁλιεὺς φορῇ, πάνυ ἐπιτυγχάνει τῆς ἁλείας. δεῖ δὲ δεσμεῖν ἐν δορᾷ δελφίνου.

I O W S Z

1 περὶ ψύλλου κεφάλαιον ρνε´ O / περὶ ψύλλων om.IZ 2 ψύλλος – 3 ὠφελεῖ om. WSZ / γλαυκίνῳ ὠταλγίαις βοηθεῖ O / δὲ om.WSZ / θαλασσίους μετὰ ψυλλίου βοτανίου Z / ἀποζέσῃς Z 4 μετὰ – βοτάνης om.Z / ἔχουσα WS / εἰς – 5 ψύλλους: ὅπου εἰσὶ ψύλλοι IO / γίνονται Z / ἐν – ψύλλοι om.IOZ 5–7 ἐὰν – δελφίνου om. Z 6 θαλάσσιον om.WS / φορῇ ἁλιεὺς WS / εἰς τὴν ἁλιείαν IO / δεῖ – 7 δελφίνου om.WS.

Scholia marginalia.

2 εἰς ὠταλγίαν O 3 διωκτικὸν ψύλλων O 6 ἁλίευσιν ἐπιτευκτικὸν O.

4 Kyr. I 23, 25.

77. Περὶ ὠμίδος.

Ὠμὶς ἰχθύς ἐστι θαλάσσιος, ἡ καλουμένη δαύς. ταύτης ἡ κεφαλὴ καυθεῖσα καὶ σὺν μέλιτι ἐπιχρισθεῖσα ῥαγάδας τὰς ἐν τῇ ἕδρᾳ γινομένας θεραπεύει, καὶ γαργαρεῶνας χρονίους ἐσκιρωμένους ὠφελεῖ.

D N W S L

1 ὠμίδος scripsi : ὠμοῦ ω´ WS / περὶ ὠμίδος om.DNL 2 ἡ om.L / ἡ – δαὺς om.DN δὰς L / τούτου WS 3 καὶ – ἐπιχρισθεῖσα om.L / τῇ om.DNL / γινομένας om.WS 4 καὶ – ὠφελεῖ om.WS / χρονίους om.DN / ἐσφηνομένους DN / ὠφελεῖ τέλος D : om.L.



78. Περὶ ὠῶν τῶν ἰχθύων.

Ὠὰ τῶν ἰχθύων ταριχευθέντα καὶ βρωθέντα πᾶσαν νόσον καὶ ἀσθένειαν θεραπεύουσι καὶ πᾶσαν ἀνορεξίαν λύουσι. μάλιστα τῶν κεφάλων καὶ λαβράκων καὶ σμυραινῶν καὶ τῶν ὁμογενῶν. πρόσφατα δὲ ταριχευόμενα καὶ ἐσθιόμενα πᾶσαν ἀήθειαν ἰῶνται.

Καὶ ταῦτα μὲν ἡ θεία φύσις ἐπ' ὠφελείᾳ τῶν ἀνθρώπων ἐδωρήσατο πᾶσιν ἀερίοις τε καταχθονίοις καὶ ἐνύδροις ζῴοις, ἵνα μηδὲν ἀδωροδόκητον καταλείπῃ τῷ βίῳ. ἔτι δὲ μήν, ἀλλὰ καὶ λίθοις καὶ φυτοῖς καὶ βοτάναις καὶ ὕδασι τὴν ἑαυτῆς δύναμιν ἡ μακαρία φύσις ἐνεδείξατο. καὶ τὰ μὲν ἀναγκαῖα ἡμῖν δῶρα ἐχαρίσατο, ὧν χωρὶς ζῆν οὐκ ἐνδέχεται, οἷον ὕδωρ, πῦρ, οὐ μόνον δέ, ἀλλὰ καὶ τὴν ἀνάγκην τῆς ζωῆς, ὅνπερ εἰσπνέομεν ἀέρα, ἥλιόν τε καὶ ἡμέραν, καὶ τὰ τούτοις ἀκόλουθα. τὰ δὲ οὐκ ἀναγκαῖα τῷ βίῳ δυσπόριστα μάλιστα ἔθηκεν, ἵνα ὅπερ ἐλλείπει τῷ ἀναγκαίῳ, τοῦτο ἀπορίᾳ ζητῆται, οἷον οἱ τίμιοι λίθοι καὶ τὰ μέταλλα, περὶ ὧν ἑξῆς διελευσόμεθα. πρῶτον δὲ περὶ τῶν ἐν γῇ μετάλλων τὴν ἱστορίαν ποιήσομαι. (125)

A G H F I O W S Z

1 ὠὰ WS / τῶν om.O / ἰχθύων κεφάλαιον ρνς´ O / περὶ – ἰχθύων om.AGHFIZ 2 ὠὰ om.Z / τῶν : τὰ Z : om.IOS / ταριχευόμενα WS / καὶ om.Z / βιβρωσκόμενα WS : πάντοτε ἔσθιε Z / ἀσθένειαν καὶ νόσον WS / ὠὰ – 3 λύουσι om.AGHF / καὶ μάλιστα Z / τῶν λαβράκων ὅτι πᾶσαν ἀνορεξίαν λύουσιν Z 4 καὶ κεφαλῶν καὶ σμυρναίων WS / σφυραίνων AIO / ὁμοίων WS / δὲ om.AGHFIO / τεταριχευμένα IO 4–16 καὶ σμυραινῶν – ποιήσομαι om.Z 5 καὶ om.AGHFIO / ἀήθειαν : ἀδικίαν IO : κοιλίαν AGHF / ἰῶντα O 6 καὶ om.I / ἡ – φύσις : ὁ δημιουργὸς θεὸς λόγος WS ὠφέλειαν WSF 7 ὡς ἀγαθὸς ἐδωρήσατο πάσης ἀερίας τε καὶ χθονίας δρύσεως WS ἀερίνοις G / τε om.GF / ἐνύδρου WSF / ζῴοις om.WS 8 ἀδωροδόκητον : ἀδοίκητον WS / βίῳ ᾧ ἡ δόξα σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ὁμοουσίῳ καὶ ζωοποιῷ πνεύματι, εἰς τοὺς αἰῶνας ἀμήν (ἀμὴν ἀμὴν W) WS / δὲ om.AGHF / μὲν AGHF 8–16 ἔτι – ποιήσομαι om.WS 9 βοτάνοις A / αὐτῆς F 10 δώρῳ ἡμῖν AGHF 11 δὲ om.F 12 ὅτι περ εἰσδέομεν AGHF / ἡμέρας F / ἃ τούτων AGHF 13 μᾶλλον I 14 τούτου F / οἷον ζητεῖται οἷον G 14–16 οἷον – ποιήσομαι om.O 15 πρῶτον τέλος GHF δὲ – 16 ποιήσομαι om.GHF / ποιήσομαι θεὸς ἡγήσει καὶ ἐνεργείας, ἀμὴν τέλος ἀμὴν τέλος A.

Scholia marginalia.

2 εἰς πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν καὶ ἀνορεξίαν O.

<Κυρανίδος βιβλίον πέμπτον>· περὶ βοτανῶν.

1 Α

Ἀργεμώνη βοτάνη ῥίζαν ἔχουσα τὸ μέγεθος ἴσον ἐλαίας. αὕτη ῥυπτικῆς καὶ διαφορητικῆς ἐστι δυνάμεως. καὶ κοπεῖσα ἐν ὄλμῳ καὶ στέατι τραγείῳ μιχθεῖσα καὶ ἐπὶ ἑλκῶν κακοηθῶν ἐπιτιθεμένη πάντα ἰᾶται. ὁ δὲ χυλὸς αὐτῆς ἑψηθεὶς μετὰ μέλιτος ἕως οὗ λάβῃ γλοιοῦ πάχος καὶ ἐπιχριόμενος κυνοδήκτους καὶ θηριοδήκτους καὶ σύριγγας θεραπεύει. ξηρὰ δὲ κοπεῖσα καὶ σεισθεῖσα τὰ κοῖλα τῶν βαθυτάτων ἑλκῶν ἀναπληροῖ. τὸ δὲ ἀφέψημα αὐτῆς πινόμενον ἔμβρυα ἀποβάλλει. διαφορεῖ δὲ χοιράδας καὶ σκληρίας καὶ οἰδήματα. φορουμένη δὲ φυλακτήριόν ἐστι τοῦ σώματος.

1 κυρανίδος βιβλίον πέμπτον scripsi / ἕτερον περὶ βοτανῶν κατὰ στοιχεῖον ἐκ τοῦ Ἀετίου DN.

3 Diosk. II 176,1.6.  5 Diosk. II 176,2.2.

2 Β

Βάλσαμος βοτάνη ἐστί. ταύτης ὁ καυλὸς ξηραίνει καὶ θερμαίνει λεπτομερῶς. ὁ δὲ ὀπὸς αὐτῆς πολλῷ λεπτομερέστερος. ὅθεν καὶ ἐπιχριόμενος ὀφθαλμοῖς, νεφέλας καὶ λευκώματα καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποσμήχει καὶ ἀποκαθαίρει. ὁ δὲ καρπὸς αὐτῆς λεπτομερὴς ὢν καὶ θερμαγωγός, βηχικοὺς καὶ φθισικοὺς καὶ αἱμοπτοϊκοὺς καὶ σκοτωματικοὺς ὠφελεῖ, σὺν ὕδατι πινόμενος. λεῖος δὲ προστιθέμενος ἔμβρυα κατασπᾷ, καὶ ἔμμηνα ἄγει, καὶ μήτρας περίψυξιν ἰᾶται. σὺν οἴνῳ δὲ πινόμενος ὁ καρπὸς οὖρα ἄγει καὶ λίθους θρύπτει, καὶ πλευρίτιδας καὶ περιπνευμονίας ἰᾶται, καὶ θηριοδήκτους καὶ σκορπιοπλήκτους. σὺν μέλιτι δὲ καταπλασσόμενος ἕλκη ἐπιπόλαια ἀναπληροῖ. μετ' ἐλαίου δὲ χριόμενος πρὸ τῆς ἐλεύσεως ῥίγη λύει. τὸ δὲ ἐξ αὐτοῦ γινόμενον ἔλαιον ἐνσταζόμενον ὠσὶν ὠταλγίας παύει καὶ δυσηκοΐας ἰᾶται.

8 <κα>τασπᾷ D  11 σκορπιοδήκτους D / σὺν δὲ N  12 συγχριόμενος N.

5 Diosk. I 19,4.18.  6 Diosk. I 19,5.1-5.



3 Γ

Γλυκισίδη βοτάνη ἐστιν, ἥντινες καὶ παιωνίαν καλοῦσι, καὶ πεντέβορον. ταύτης ἡ ῥίζα δριμεῖα τε καὶ ὑπόπικρος καὶ ξηραντικὴ καὶ στυπτικὴ ὑπάρχει. γλυκισίδη δὲ εἴρηται διὰ τὸ ἐπωφέλημον αὐτῆς. καταμήνιά τε γὰρ κινεῖ καὶ ἧπαρ καὶ νεφρίτιδας καὶ στόμαχον δακνώμενον ὠφελεῖ, καὶ δυσουριῶντας καὶ λιθιῶντας καὶ κύστεως ἕλκωσιν ἰᾶται. καὶ γυναιξὶ ταῖς ἐκ τοκετοῦ μὴ καθαιρομένας μέγεθος ἀμυγδάλου σὺν οἴνῳ πινομένη μεγάλως χρησιμεύει. σὺν δὲ αὐστηρῷ οἴνῳ ῥεύματα τὰ κατὰ γαστέρᾳ γινόμενα, καὶ ῥοῦν γυναικεῖον ἵστησι. λειωθεῖσα δὲ σὺν στέατι χοιρείῳ καὶ ὑγροπίσσῃ καὶ ἑψηθεῖσα ἕλκη δυσεπούλωτα ἰᾶται.

10 δυσεπούλωτα scripsi : δυσαπούλωτα DN.

2 Diosk. III 140,1.1.  3-7 Diosk. III 140,2.4-8.

4 Δ

Διψακὸς βοτάνη ἐστίν, ἄνθος ἀκανθῶδες ποιοῦσα, ἧς ἡ ῥίζα ξηραντική τε ἐστὶ καὶ ῥυπτική. αὕτη ἑψηθεῖσα σὺν οἴνῳ καὶ κηρῷ προλειωθεῖσα ἕως διαλυθῇ καὶ κηρωτῆς λάβῃ πάχος, τὰς ἐν τῷ δακτύλῳ ῥαγάδας καὶ σύριγγας ἐπιτιθεμένη θεραπεύει. δεῖ δὲ ἀποτιθέναι τὸ φάρμακον εἰς χαλκοῦν σκεῦος. σὺν ὕδατι δὲ βραζομένη καὶ λεία καταπλασσομένη θηριόδηκτα ἕλκη καὶ κυνόδηκτα θεραπεύει, καὶ χοιράδας καὶ βουβῶνας ἰᾶται, καὶ ὑδροκοιλικὰ ἕλκη θεραπεύει.

7 κυνοδήκτους D.

2 Diosk. III 11,1.1.  3-6 Diosk. III 11,2.6-10.

5 Ε

Εὔζωμον βοτάνη ἐστι, δύσοσμον μὲν πλὴν ἐδώδιμον. ἀποβάλλει γὰρ τὴν ὀσμὴν ἐν τῷ ἑψῆσθαι. κέκτηται δὲ δύναμιν δριμεῖαν τε καὶ θερμὴν καὶ φυσώδη, διὸ καὶ ἀφροδισιαστική ἐστι. τοῦ δὲ ἡμέρου τὸ ἄγριον ἰσχυρότερόν ἐστι. κωλικοὺς τε γὰρ ἄκρως ἰᾶται σὺν ὕδατι βραζομένη καὶ πινομένη. τὸ δὲ σπέρμα λεῖον σὺν ὑδρομέλιτι πινόμενον

λιθιῶντας καὶ στραγγουριῶντας καὶ δυσουριῶντας ἰᾶται. πινέτω δὲ ὁ πάσχων ἐπὶ ἡμέρας γ΄ νῆστις καὶ ἐν κοίτῃ. ἐσθιομένη δὲ ἡ βοτάνη εὐστομαχίαν παρέχει. σὺν οἴνῳ δὲ συνεχῶς τὸ σπέρμα πινόμενον ἀσύλληπτόν ἐστι· καὶ σκορπίου δήγμασιν ἀντιπάσχει καὶ ἕλμινθας ἀναιρεῖ καὶ ἰκτερικοὺς θεραπεύει. σὺν δὲ μελικράτῳ λεῖον, ἑφθὸν καταπλασσόμενον, ὀστᾶ κεκλασμένα ἐξέλκει. τὸ αὐτὸ δὲ σπέρμα καὶ σὺν μέλιτι καταχριόμενον σπίλους τοὺς ἐν ὄψει καθαίρει.

8 γ΄ : η΄ D / καὶ om.D.

4 Diosk. II 140.5.   6 Diosk. II 140.6.

6 Z

Ζώηχος βοτάνη ἐστὶν ἐδώδιμος, ὑποπικρίζουσα, πᾶσι γνωστή. ταύτης τὸν χυλὸν λειώσας, δὸς τοῖς πλευριτικοῖς πιεῖν καὶ ἰάσει. μετὰ δὲ ῥοδίνου ἐλαίου καὶ χυλοῦ συμφύτου περίχριε πυρεκτικοῖς,καὶ ἀπαλλάξεις. ἐὰν δ᾽ ὑπὸ ξίφους ἢ ξύλου ἢ λίθου πληγῇ τις, λειώσας τὴν βοτάνην σὺν οἰνελαίῳ ἐν τηγάνῳ ἀφέψει καὶ μετ᾽ ἐρίων ἁπλώτων πυρίαζε τὴν πληγήν, καὶ οὐ φλεγμανεῖ. ἡ δὲ ῥίζα τῆς βοτάνης πινομένη φαλαγγιοδήκτους καὶ σκορπιοδήκτους θεραπεύει. καὶ τὰ φύλλα καταπλασσόμενα τῇ πληγῇ τὸ αὐτὸ ποιοῦσιν. ἐσθιομένη δὲ ἑφθή τε καὶ ὠμὴ γάλα γυναικεῖον προτρέπει.

1 ζωηχὸς = neogr. ζωχός.

7 H

Ἠρύγγιον βοτάνη ἐστι θερμὴ καὶ ξηρά, μετρία τὴν φύσιν ὑπάρχουσα. ταύτης ἡ ῥίζα σὺν οἴνῳ πινομένη οὖρα κινεῖ καὶ δυσουριῶντας ἰᾶται, καὶ λίθους θρύπτει καὶ στροφοὺς παύει καὶ κύστεως ἀλγήματα θεραπεύει καὶ θανάσιμα φάρμακα ἀνενέργητα ποιεῖ καὶ θηριοδήκτους καὶ ἑρπετοδήκτους ὠφελεῖ.

2 Diosk. III 21,2.2.



8 Θ

Θρίδαξ ὑγρὸν καὶ ψυχρόν ἐστι λάχανον, ἐδώδιμον καὶ πᾶσι γνωστόν, ὃ καὶ μαϊούλι λέγεται παρὰ τοῖς πολλοῖς. αὕτη στόμαχον ἀνακτᾶται. μετὰ ὀξυγάρου δὲ καὶ λάσαρος ἐσθιομένη ὄρεξιν κινεῖ, καὶ τὴν γαστέρα μαλάσσει ἐπὶ πλεῖον ἐσθιομένη. ἐὰν δ᾽ ἐπ᾽ ὀλίγον τὴν γαστέρα ἐπέχει, καὶ χολέρας διαλύει ὄχλησιν. ἐν ὀξυμέλιτι δὲ ἐσθιομένη κοιλιακοὺς ὠφελεῖ, <καὶ> ὕπνον παρασκευάζει. τὸ σπέρμα δ᾽ αὐτῆς τῷ μετώπῳ καταπλασσόμενον κεφαλαλγίας πυρώδεις ἀποκρούει.

3 μαϊοῦλι = neogr. μαροῦλι   6 ἐν : ἐξ D.

4 Diosk. II 136,1.

9 I

Ἴον βοτάνη ἐστὶ ψυχρὰ τῇ δυνάμει. αὕτη φλεγμονὰς πυρώδεις καὶ μάλιστα τὰς ἐν μήτρᾳ παύει, λεία καταπλασσομένη. ἡ δὲ ῥίζα σὺν ὕδατι ἑψηθεῖσα κοιλίας στρόφον καὶ πόνον παύει. ποιεῖ δὲ καὶ πρὸς κεφαλαλγίαν, μετ᾽ ὄξους καταπλασσομένη. τὰ δὲ φύλλα καὶ πυρετῶν ἀποκρουστικὰ πεφύκασι σὺν κρόκῳ ὠῶν καταπλασσόμενα τῷ στομάχῳ. λεῖα δὲ σὺν χοιρείῳ στέατι ἐπιτιθέμενα βουβῶσι πεπανθεῖσι ἐξανοίγει καὶ τὸ ἕλκος ποιεῖ ἐκρεῖν.

8 πεπανθεῖσι scripsi : πεπαυθεῖσιν DN.

2 Diosk. IV 121.7.

10 K

Κράμβη λάχανόν ἐστι ἐδώδιμον πᾶσι γνωστόν, ξηραντικὴν τὴν φύσιν ἔχον. αὕτη κοιλίαν μαλάσσει σὺν οἴνῳ ἑφθὴ νῆστις λαμβανομένη κοτύλη α΄. ἕλκη τε οὐ μόνον πρόσφατα, ἀλλὰ καὶ παλαιὰ θεραπεύει, ὠμὴ λεία καταπλασσομένη δὶς τῆς ἡμέρας. ὁ δὲ χυλὸς αὐτῆς σὺν οἴνῳ ἐνσταζόμενος τοῖς ὠσίν, ὠταλγίας ἰᾶται. στόμαχον δὲ φλεγμαίνοντα ὠφελεῖ, ὠμή, λεία καταπλασσομένη. μετὰ δὲ στέατος χοιρείου παλαιοῦ καὶ ἐλαίου παλαιοτάτου λειανθεῖσα καὶ καταπλασσομένη,στή-

